This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

3 3433 08161818 7
Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΗΣ.

ARISTOPHANIS

COMŒDIÆ

EX OPTIMIS EXEMPLARIBUS EMENDATÆ:

CUM

VERSIONE LATINA.

A

RICH. FRANC. PHIL. BRUNCK.

TOM. III.

LONDINI:
SUMTIBUS G. ET W. B. WHITTAKER.
1823.

Digitized by Google

NEW YORK
PUBLIC
LIBRARY

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

Σ Φ Η Κ Ε Σ.

Digitized by Google

Digitized by Google

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΩΣΙΑΣ. } οἰκέται Φιλοκλέωνος.
ΞΑΝΘΙΑΣ. }
ΒΔΕΛΥΚΛΕΩΝ.
ΦΙΛΟΚΛΕΩΝ.
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΣΦΗΚΩΝ.
ΠΑΙΔΕΣ.
ΚΥΩΝ.
ΑΡΤΟΠΩΛΙΣ.
ΑΝΗΡ ΤΙΣ ΚΑΤΗΓΟΡΟΣ.

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

Σ Φ Η Κ Ε Σ.

ΣΩΣΙΑΣ, ΞΑΝΘΙΑΣ, ΒΔΕΛΥΚΛΕΩΝ, ΦΙΛΟΚΛΕΩΝ, ΧΟΡΟΣ, ΠΑΪΔΕΣ.

Σω. ΟΥΤΟΣ, τί πάσχεις, ὦ κακόδαιμον Ξανθία;
Ξα. φυλακὴν καταλύειν νυκτερινὴν διδάσκομαι.
Σω. κακὸν ἄρα ταῖς πλευραῖς τι προὔφειλες μέγα.
ἆρ' οἶσθας οἷον κνώδαλον φυλάττομεν;
Ξα. οἶδ'· ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι.
Σω. σὺ δ' οὖν παρακινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ
κατὰ ταῖν κόραιν ἤδη τι καταχεῖται γλυκύ.
Ξα. ἀλλ' ἦ παραφρονεῖς, ἐτεὸν, ἢ κορυβαντιᾷς;
Σω. οὐκ· ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ Σαβαζίου.
Ξα. τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς Σαβάζιον.
κἀμοὶ γὰρ ἀρτίως τις ἐπεστρατεύσατο
Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος·
καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.

Digitized by Google

ARISTOPHANIS

VESPÆ.

SOSIA, XANTHIA, BDELYCLEO, PHILOCLEO, CHORUS, PUERI.

Sos. Heus tu, quid facis, infelix Xanthia?

Xanth. Custodiam nocturnam dissolvere disco.

Sos. Magnum ergo quoddam malum debebas lateribus tuis. Anne etiam scis qualem custodiamus beluam?

Xanth. Scio: sed cupio paululum dormire.

Sos. Tu vero periclitare; nam et meis oculis jam aliquid dulce offunditur.

Xanth. Profecto insanis, aut Corybantum more furere incipis.

Sos. Non: sed gravis me quis sopor incessit ex Sabazio.

Xanth. Eundem ergo mecum colis Sabazium. Nam et mihi modo quasi hostis quis Medus invasit palpebras, capitis quassator sopor; et sane mirum somnium somniavi modo.

Digitized by Google

Sos. Et ego unum certe, quale nunquam antehac. Sed tu narra prior.

Xanth. Visa est aquila devolans in forum, magna oppido, rapere unguibus clypeum æratum, et procul in cœlum auferre: deinde illum clypeum visus est abjecisse Cleonymus.

Sos. Nihil ergo a gripho differt Cleonymus. *Qui fit, quæso,* rogabit aliquis inter convivas fabulans, *ut una eademque belua in terra et in cœlo et in mari clypeum abjecerit?*

Xanth. Hei mihi! quid ergo mali eveniet mihi, qui tale insomnium vidi?

Sos. Ne sis sollicitus: nihil enim erit mali, ita me ament dii.

Xanth. Attamen dirum est omen homo abjiciens arma. Tu vero jam tuum narra.

Sos. Sed est magni momenti: nam ad totam reipublicæ navem attinet.

Xanth. Propera igitur memorare carinam illius rei.

Sos. Visus sum circa primum somnum videre concionem sedentum in Pnyce pecudum, baculos habentium et pallia: deinde inter istas pecudes mihi videbatur verba facere balæna omnivora, quæ vocem habebat obesæ suis.

Xanth. Au!

Sos. Quid est?

Digitized by Google

Σω. κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
ἀτὰρ σὺ λέξον πρότερος.
Ξα. ἐδόκουν ἀετὸν
καταπτόμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ,
ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα
φέρειν ἐπίχαλκον ἀνεκὰς ἐς τὸν οὐρανόν.
κἄπειτα ταύτην ἀποβαλεῖν Κλεώνυμον.
Σω. οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμος.
Πῶς δή, προσερεῖ τις τοῖσι συμπόταις λέγων,
ὅτι ταυτὸν ἐν γῇ θηρίον, κἀν οὐρανῷ,
κἀν τῇ θαλάττῃ γ' ἀπέβαλεν τὴν ἀσπίδα;
Ξα. οἴμοι, τί δῆτά μοι κακὸν γενήσεται,
ἰδόντι τοιοῦτον ἐνύπνιον;
Σω. μὴ φροντίσῃς.
οὐδὲν γὰρ ἔσται δεινόν, οὐ μὰ τοὺς θεούς.
Ξα. δεινόν γέ που 'στ' ἄνθρωπος ἀποβαλὼν ὅπλα.
ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον.
Σω. ἀλλ' ἔστιν μέγα.
περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου.
Ξα. λέγε νυν ἀνύσας τι τὴν τρόπιν τοῦ πράγματος.
Σω. ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ Πνυκὶ
ἐκκλησιάζειν πρόβατα συγκαθήμενα,
βακτηρίας ἔχοντα καὶ τριβώνια·
κἄπειτα τούτοις τοῖς προβάτοισί μοι 'δόκει
δημηγορεῖν φάλαινα πανδοκεύτρια,
ἔχουσα φωνὴν ἐμπεπρησμένης ὑός.
Ξα. αἰβοῖ.
Σω. τί ἐστι;

Digitized by Google

Ξα. παῦε, παῦε, μὴ λέγε·
ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.
Σω. εἶθ' ἡ μιαρὰ φάλαιν', ἔχουσα τρυτάνην,
ἵστη βόειον δημόν.
Ξα. οἴμοι δείλαιος·
τὸν δῆμον ἡμῶν βούλεται διϊστάνειν.
Σω. ἐδόκει δ' ἐμοὶ Θέωρος αὐτῆς πλησίον
χαμαὶ καθῆσθαι, τὴν κεφαλὴν κόρακος ἔχων.
εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας·
Ὁλᾷς; Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.
Ξα. ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.
Σω. οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωρος κόραξ
γιγνόμενος;
Ξα. ἥκιστ'· ἀλλ' ἄριστον.
Σω. πῶς;
Ξα. ὅπως;
ἄνθρωπος ἦν· εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ.
οὔκουν ἐναργὲς τοῦτο συμβαλεῖν, ὅτι
ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἰχήσεται;
Σω. εἶτ' οὐκ ἐγὼ, δοὺς δύ' ὀβολοὺς, μισθώσομαι
οὕτως ὑποκρινόμενον σαφῶς ὀνείρατα;
Ξα. φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
ὀλίγα γ' ὑπειπὼν πρότερον αὐτοῖσιν ταδί·
μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα·
μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος
δούλω παραρριπτοῦντε τοῖς θεωμένοις,
οὔθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,

Digitized by Google

XANTH. Desine, desine; ne narra. Pessime olet insomnium istud putorem corii.

Sos. Deinde impura illa balæna trutinam tenens, bubulum appendebat adipem.

XANTH. Hei mihi misero! populum nostrum vult distrahere.

Sos. Videbatur autem mihi Theorus prope humi sedere, coracis habens caput: tum vero Alcibiades mihi dixit ore balbo: *Celnisne? Theolus colacis habet caput.*

XANTH. Recte id quidem Alcibiades balbutiit.

Sos. Annon monstri hoc simile est, Theorus corvus factus?

XANTH. Minime; immo optimum est.

Sos. Quomodo?

XANTH. Rogas? homo erat: deinde repente factus est corvus. Nonne hinc manifesta conjectura augurere, eum subvolantem a nobis ad corvos iturum?

Sos. Ergone duobus obolis non conducam te, qui tam perspicue conjicis somnia?

XANTH. Age vero, spectatoribus argumentum eloqui volo, ubi prius pauca hæc eos monuero. Nihil a nobis expectent magnum nimis, nec etiam jocos Megaris furtim conquisitos. Nobis enim nec sunt, qui nuces ex sportula jaciant spectatoribus, servi: nec est Hercules cœna defraudatus, nec iterum Euripides petulanter traducitur; neque etiam, quia Cleo fortu-

Digitized by Google

nec favore inclaruit, propterea eundem illum hominem rursus aceto perfundemus. Sed est nobis argumentum non ineptum, quod vestram quidem sapientiam non superat, sed tamen magis est scitum et elegans, quam quævis insulsa comœdia. Nempe herus est nobis, qui in superiore ædium parte dormit, magnus ille in cœnaculo. Iste nobis imperavit, ut suum patrem adservemus, quem intus conclusit, ne foras exeat. Morbo enim pater ejus laborat mirabili, quem nemo facile noverit, neque conjecerit, qui sit, nisi ex nobis audiatis: si minus creditis, ipsi conjecturas facitote. Amynias quidem iste Pronapi filius ait, esse eum amatorem aleæ: sed nihil dicit.

Sos. Nihil hercle; sed de se hunc morbum conjectat.

Xanth. Haud sane recte. Est tamen *Amator* quidem exordium hujus mali. Iste vero, Sosia, ad Dercylum ait, amatorem eum esse compotationum.

Sos. Nequaquam; si quidem iste morbus etiam virorum est bonorum.

Xanth. Nicostratus autem Scambonides ait eum amatorem esse sacrificiorum, aut hospitum.

Sos. Per canem juro, Nicostrate, non est amator hospitum. Nam cinædus est Philoxenus.

Xanth. Frustra nugamini: non enim invenietis. Si autem scire cupitis, jam tacete: declarabo enim nunc morbum heri

Digitized by Google

οὐδ' αὖθις ἀνασελγαινόμενος Εὐριπίδης·
οὐδ', εἰ Κλέων γ' ἔλαμψε τῆς τύχης χάριν,
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
ἀλλ' ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσὶ,
ἄνω καθεύδων, ὁ μέγας, οὑπὶ τοῦ τέγους.
οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξε νῷν,
ἔνδον καθείρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ,
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ', οὐδὲ ξυμβάλοι,
εἰ μὴ πύθοιθ' ἡμῶν· ἐπεὶ τοπάζετε.
'Αμυνίας μὲν ὁ Προνάπου φήσ' οὑτοσὶ
εἶναι φιλόκυβον αὐτόν· ἀλλ' οὐδὲν λέγει.
Σω. μὰ Δί', ἀλλ' ἀφ' αὑτοῦ τὴν νόσον τεκμαίρεται
Ξα. οὔκ· ἀλλὰ ΦΙΛΟ μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
ὁδὶ δέ φησι Σωσίας πρὸς Δερκύλον,
εἶναι φιλοπότην αὐτόν.
Σω. οὐδαμῶς γ', ἐπεὶ
αὕτη γε χρηστῶν ἐστὶν ἀνδρῶν ἡ νόσος.
Ξα. Νικόστρατος δ' αὖ φησιν, ὁ Σκαμβωνίδης,
εἶναι φιλοθύτην αὐτὸν, ἢ φιλόξενον.
Σω. μὰ τὸν κύν', ὦ Νικόστρατ', οὐ φιλόξενος,
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.
Ξα. ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε.
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν.
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.

Digitized by Google

φιληλιαστής ἐστιν, ὡς οὐδεὶς ἀνήρ·
ἐρᾷ τε τούτου, τοῦ δικάζειν, καὶ στένει,
ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην·
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰωθέναι,
τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων ἀνίσταται,
ὥσπερ λιβανωτὸν ἐπιτιθεὶς νουμηνίᾳ.
καὶ, νὴ Δί', ἢν ἴδῃ γέ που γεγραμμένον
τὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλὸν,
ἰὼν παρέγραψε πλησίον ΚΗΜΟΣ ΚΑΛΟΣ.
τὸν ἀλεκτρυόνα δ', ὃς ᾖδεν ἐφ' ἑσπέρας, ἔφη,
ὡς ὄψ' ἐγείρειν αὐτὸν ἀναπεπεισμένον,
παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
εὐθὺς δ' ἀπὸ δορπηστοῦ κέκραγεν ἐμβάδας·
κἄπειτ' ἐκεῖσ' ἐλθὼν, προκαθεύδει πρῲ πάνυ,
ὥσπερ λεπὰς προσεχόμενος τῷ κίονι.
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακρὰν,
ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται,
ὑπὸ τοῖς ὄνυξι κηρὸν ὑποπεπλασμένος.
ψήφων δὲ δείσας μὴ δεηθείη ποτὲ,
ἵν' ἔχῃ δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν,
μοχλοῖσιν ἐγκλείσαντες, ὡς ἂν μὴ 'ξίῃ.
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει.
καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος,

Digitized by Google

mei. Quippe amator est Heliææ, ut nemo alius: insanitque hujus rei, judicandi inquam, cupidine, et gemit, si non in primo sedeat judicum subsellio. Noctu autem somni ne tantillum quidem videt: si vero pauxillum connivere cœpit, tamen noctu etiam mens volitat illic circa clepsydram. Et quoniam assuefactus est calculum tenere, tribus compressis digitis expergefactus surgit, quasi thus imponeret acerræ novilunio. Et mehercle, si alicubi videat inscriptum in janua, *Bellus Demus Pyrilampis filius*, ipse ire solet, et juxta scribere: *Bellus Camus Judiciarius*. Gallum autem gallinaceum, qui cecinerat vesperi, dixit, se excitare tarde, quia corruptus esset a reis argento. Statim autem a cœna cum clamore poscit calceos: deinde ubi illuc ante diluculum venit, dormit adnixus et hærens columnæ, instar conchæ. Præ severitate autem ducta omnibus longa linea, tanquam apis aut bombylius domum ingreditur cum unguibus cera sublitis. Et quia timet ne aliquando eum calculi deficiant, litus habet renovatque semper domi, ut ferendæ sententiæ copiam habeat. Ita æstuat: magis autem monitus, semper magis judicare studet. Hunc itaque custodimus obductis inclusum pessulis, ne exeat. Filius enim ejus morbum graviter fert. Et primum quidem dictis lenibus adlocutus suasit ei,

Digitized by Google

ne gestaret pallium, neve exiret foras: at ille morem non gessit. Deinde illum lavit, et purgavit, quin etiam postea Corybantum sacris piari curavit: ille autem tympanum tenens exsiluit, et judicaturus in forum irruit. Quum autem istis initiis ei nihil profuisset, in Æginam navigavit, ibique reprehensum noctu in Æsculapii fano incubare fecit: at ille summo mane apparuit apud cancellos. Exinde non amplius domo exire eum sivimus: ille vero elabebatur per cloacas et foramina: nos autem, quæcunque erant perforata, obturavimus pannis, et obsepivimus: ille vero paxillos infigebat parieti, quibus, ut graculus, innixus, exsiliebat: nos demum totum atrium circumcirca retibus obduximus, illumque sic adservamus. Est autem nomen seni Philocleo, quo sane dignus est, ita me Jupiter amet: filio autem ejus Bdelycleo, quippe qui mores habeat caperofrontipervicos.

Bdel. O Xanthia et Sosia, dormitisne?

Xanth. Hei mihi!

Sos. Quid est?

Xanth. Bdelycleo surgit.

Bdel. Nonne curret vestrûm alter huc ocius? nam pater in culinam est ingressus rimaturque aliquid, tanquam mus in caverna delitescens: sed specta, ne per foramen alvei elabatur: tu autem januæ incumbe.

Digitized by Google

ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον,
μηδ' ἐξιέναι θύραζ'· ὁ δ' οὐκ ἐπείθετο.
εἶτ' αὐτὸν ἀπέλου, κἀκάθαιρε, καὶ μάλα
μετὰ ταῦτ' ἐκορυβάντιζ'· ὁ δ' αὐτῷ τυμπάνῳ
ἄξας, ἐδίκαζεν ἐς τὸ Καινὸν ἐμπεσών.
ὅτε δὴ δὲ ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
διέπλευσεν εἰς Αἴγιναν· εἶτα συλλαβὼν
νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ·
ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθεν οὐκέτ' αὐτὸν ἐξεφρείομεν.
ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδρορρόων,
καὶ τῶν ὀπῶν· ἡμεῖς δ' ὅσ' ἦν τετρημένα
ἐνεβύσαμεν ῥακίοισι, κἀπακτώσαμεν.
ὁ δ', ὡσπερεὶ κολοιὸς, αὑτῷ παττάλους
ἐνέκρουεν εἰς τὸν τοῖχον· εἶτ' ἐξήλλετο.
ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
καταπετάσαντες ἐν κύκλῳ, φυλάττομεν.
ἔστιν δ' ὄνομα, τῷ μὲν γέροντι, Φιλοκλέων,
ναὶ μὰ Δία· τῷ δ' υἱεῖ γε τῳδὲ, Βδελυκλέων,
ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς.

Βδ. ὦ Ξανθία, καὶ Σωσία, καθεύδετε;
Ξα. οἴμοι.
Σω. τί ἐστι;
Ξα. Βδελυκλέων ἀνίσταται.
Βδ. οὐ περιδραμεῖται σφῷν ταχέως δεῦρ' ἅτερος;
ὁ γὰρ πατὴρ εἰς τὸν ἰπνὸν εἰσελήλυθε,
καὶ μυσπολεῖ τι καταδεδυκώς. ἀλλ' ἄθρει,
κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται·

Digitized by Google

σὺ δὲ τῇ θύρᾳ πρόσκεισο.

Σω. ταῦτ', ὦ δέσποτα.

Βδ. ἄναξ Πόσειδον, τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
οὗτος, τίς εἶ σύ;

Φι. καπνὸς ἔγωγ' ἐξέρχομαι.

Βδ. καπνός; φέρ' ἴδω τίνος ξύλου σύ.

Φι. συκίνου.

Βδ. νὴ τὸν Δί', ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.
ἀτὰρ οὐκ ἐσερρήσεις γε; ποῦ 'σθ' ἡ τηλία;
δύου πάλιν. φέρ', ἐπαναθῶ σοι καὶ ξύλον.
ἐνταῦθα νῦν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιός γ' εἰμ', ὡς ἕτερος οὐδεὶς ἀνὴρ,
ὅστις πατρὸς νυνὶ Καπνίου κεκλήσομαι.

Σω. παῖ, τὴν θύραν ὤθει· πίεζε νῦν σφόδρα
εὖ κἀνδρικῶς. κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι·
καὶ τῆς κατακλεῖδος ἐπιμελοῦ καὶ τοῦ μοχλοῦ·
φύλαττέ θ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.

Φι. τί δράσετ'; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι,
δικάσοντά μ'; ἐκφεύξεται Δρακοντίδης.

Βδ. σὺ δὲ τοῦτο βαρέως ἂν φέροις;

Φι. ὁ γὰρ θεὸς
μαντευομένῳ μοι 'χρησεν ἐν Δελφοῖς ποτὲ,
ὅταν τις ἐκφύγῃ μ', ἀποσκλῆναι τότε.

Βδ. Ἄπολλον Ἀποτρόπαιε, τοῦ μαντεύματος.

Φι. ἴθ', ἀντιβολῶ σ', ἔκφερέ με, μὴ διαρραγῶ.

Βδ. μὰ τὸν Ποσειδῶ, Φιλοκλέων, οὐδέποτέ γε.

Φι. διατρώξομαι τοίνυν ὀδὰξ τὸ δίκτυον.

Βδ. ἀλλ' οὐκ ἔχεις ὀδόντας.

Digitized by Google

Sos. Hoc ago, here.

Bdel. O Rex Neptune! quid est, quod fumarium ita sonat? Eho, quis es tu?

Phil. Fumus equidem exeo.

Bdel. Fumus? age videam cujus ligni.

Phil. Ficulnei.

Bdel. Sane hercle, quod quidem unum omnium fumum facit acerrimum. Sed non intro te referes citissime? ubi est fumarii operculum? regredere. Agedum asserem etiam superimponam. Istic jam aliud quodvis machinare. At ego infelix sum, ut nemo alius, qui Fumo patre natus jam perhibebor.

Sos. Tu puer, januam trude: valde preme atque fortiter: ego etiam illuc veniam. Seram diligenter observa et vectem, et vide ne vectis glandem derodat.

Phil. Quid facere vultis? non me exire sinitis, impurissimi, judicaturum? Ergo abibit indemnatus Dracontides.

Bdel. Istuccine vero tu graviter ferres?

Phil. Etenim consulenti mihi olim Delphis oraculum respondit Deus, me tum mortem oppetiturum, quando mihi indemnatus reus abiisset.

Bdel. Apollo Averrunce! quale hoc est oraculum!

Phil. Age, obsecro, emitte me, ne disrumpar.

Bdel. Per Neptunum juro, ut ego te nunquam emittam, Philocleo.

Phil. Itaque corrodam mordicus arreptum rete.

Bdel. Sed non habes dentes.

Digitized by Google

PHIL. Me miserum! quomodo te occidam? quomodo? date mihi gladium ocius, aut tabellam damnatoriam.

BDEL. Homo iste magnum aliquod molitur malum.

PHIL. Non equidem hercle, non, inquam; sed vendere volo asinum una cum clitellis abductum: nam novilunium est.

BDEL. Nonne ego etiam, quæso, possem eum vendere?

PHIL. Non ita ut ego.

BDEL. Immo hercle melius; sed educ asinum.

XANTH. Qualem prætextum intulit! quam callide, ut eum emittas citius!

BDEL. Sed inanem retraxit hamum: mihi enim doli suboluerat. Sed ingressus asellum educere volo, ut ne foras rursus emicet senex.—Aselle, cur fles? anne quod hodie venum ibis? quid ingemiscis, quiane Ulyssem aliquem non vehis?

XANTH. Sed mehercle quemdam vehit, huncce subtus pendulum.

BDEL. Quemnam? age videam.

XANTH. Istum.

BDEL. Hoc quid est? quisnam es, quæso, tu homo?

PHIL. Utis sum mehercle.

BDEL. Utis tu? cujas?

Digitized by Google

Φι. οἴμοι δείλαιος·
πῶς ἄν σ' ἀποκτείναιμι; πῶς; δότε μοι ξίφος
ὅπως τάχιστ', ἢ πινάκιον τιμητικόν.
Βδ. ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.
Φι. μὰ τὸν Δί' οὐ δῆτ'· ἀλλ' ἀποδόσθαι βούλομαι
τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις.
νουμηνία γάρ ἐστιν.
Βδ. οὔκουν καὐτὸς ἂν
αὐτὸν ἀποδοίμην δῆτ' ἄν.
Φι. οὐχ ὥσπερ γ' ἐγώ.
Βδ. μὰ Δί' ἀλλ' ἄμεινον. ἀλλὰ τὸν ὄνον ἔξαγε.
Ξα. οἵαν πρόφασιν καθῆκεν, ὡς εἰρωνικῶς,
ἵνα θᾶττον ἐκπέμψειας.
Βδ. ἀλλ' οὐκ ἔσπασε
ταύτῃ γ'· ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.
ἀλλ' εἰσιών μοι τὸν ὄνον ἐξάγειν δοκῶ,
ὅπως ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν.
κάνθων, τί κλάεις; ὅτι πεπράσει τήμερον;
βάδιζε θᾶττον. τί στένεις; εἰ μὴ φέρεις
Ὀδυσσέα τινά γ';
Ξα. ἀλλά, ναὶ μὰ Δία, φέρει
κάτω γε τουτονί τιν' ὑποδεδυκότα.
Βδ. ποῖον; φέρ' ἴδωμαι.
Ξα. τουτονί.
Βδ. τουτὶ τί ἦν;
τίς εἶ ποτ', ὦ 'νθρωπ', ἐτεόν;
Φι. Οὖτις, νὴ Δία.
Βδ. Οὖτις σύ; ποδαπός;

Digitized by Google

Φι. Ἰθακὸς ἀπὸ Δρασιππίδου.
Βδ. Οὔτις, μὰ τὸν Δί', οὔ τι χαιρήσων γ' ἔσει.
ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατος,
ἵν' ὑποδέδυκεν· ὥστ' ἔμοιγ' ἰνδάλλεται
ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.
Φι. εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.
Βδ. περὶ τοῦ μάχει νῷν δῆτα;
Φι. περὶ ὄνου σκιᾶς.
Βδ. πονηρὸς εἶ πόῤῥω τέχνης, καὶ παράβολος.
Φι. ἐγὼ πονηρός; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶσθα σὺ
νῦν μ' ὄντ' ἄριστον· ἀλλ' ἴσως, ὅταν φάγῃς
ὑπογάστριον γέροντος Ἡλιαστικοῦ.
Βδ. ὦθει τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.
Φι. ὦ ξυνδικασταὶ, καὶ Κλέων, ἀμύνατε.
Βδ. ἔνδον κέκραχθι, τῆς θύρας κεκλεισμένης.
ὦθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν εἰς τὸν μοχλὸν,
καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν.
ἀνύσας τι προσκύλιέ γ'.
Σω. οἴμοι δείλαιος·
πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βώλιον;
Ξα. ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοι ποθέν.
Σω. μῦς; οὐ μὰ Δί', ἀλλ' ὑποδυόμενός τις οὑτοσὶ
ὑπὸ τῶν κεραμίδων Ἡλιαστὴς ὀροφίας.
Ξα. οἴμοι κακοδαίμων, στρουθὸς ὡνὴρ γίγνεται·
ἐκπτήσεται. ποῦ, ποῦ 'στι μοι τὸ δίκτυον;
σοῦ, σοῦ, πάλιν σοῦ.
Βδ. νὴ Δί', ἦ μοι κρεῖττον ἦν

Digitized by Google

Phil. Ithacus ex Fugacia.

Bdel. At faxo hercle, ut non sine magno tuo malo Utin te esse dixeris. Sursum trahe eum ocius. Impurissimus ille, quorsum subierat! mihi sane videtur simillimus esse pulli subrumi asellæ, qua viator invehit.

Phil. Nisi me missum feceritis, pugnabimus.

Bdel. Qua de re, quæso, pugnabis nobiscum?

Phil. De asini umbra.

Bdel. Improbus es, sed rudis et desperatæ audaciæ.

Phil. Egone improbus? non hercle. Sed tu non sentis nunc me esse virum optimum: at senties forte, quando comedes sumen, quod adponet tibi senex Heliasticus.

Bdel. Trude asinum et te ipsum in domum.

Phil. O judices, mei socii, tuque, ô Cleo, succurrite.

Bdel. Intus vociferare, clausis foribus. Trude tu multos lapides ad ostium, et glandem rursus immitte in vectem, transversumque oppone tignum, cui fulciendo propere advolve magnum mortarium.

Sos. Hei mihi misero! unde incidit in me glebula?

Xanth. Forte mus desuper eam bi i njecit alicunde.

Sos. Mus? non hercle: sed iste serpens heliastes, qui tegulas subiit.

Bdel. O me miserum! iste homo passer fit: avolabit. Ubi est rete? ubi? apage, apage, retro apage te. Edepol næ satius esset me Scionem custodire, quam hunc meum patrem.

Sos. Agedum, quoniam istum abegimus, nec potis est, ut clam nobis elabatur, cur non obdormiscimus pauxillum?

Digitized by Google

Bdel. Sed, ô miselle, venient paulo post sodales judices vocantes hunc meum patrem.

Sos. Quid ais? at nondum illuxit.

Bdel. Nondum hercle. Tamen solito tardius excitantur hodie, quippe qui a media nocte eum semper arcessunt, lucernas habentes, suavissimaque e veteris Phrynichi Phœnissis cantillantes carmina, quibus eum evocant.

Sos. Itaque, si opus erit, jam eos lapidibus impetemus.

Bdel. Sed, ô miser, si quis irritaverit genus istud senum, simile est illud crabonibus. Extremis enim in lumbis aculeum habent acutissimum, quo pungunt, et vociferando saltitant, et jaculantur, instar scintillarum.

Sos. Animo liquido et tranquillo es: nam si ego lapides habeam, multorum judicum examen dissipabo.

Chor. Perge, procede strenue. Cessas, ô Comia? at hercle, antea non cessabas; sed tam firmus eras, quam lorum caninum: nunc autem te vincit Charinades eundo. O Strymodore Conthylensis, optime judicum, estne hic forte Euergides, aut Chabes Phlyensis? Adest, quidquid superat, appapæ, papæ, papæax! ex illa juventute, quæ tum florebat, quando in

Digitized by Google

τηρεῖν Σκιώνην, ἀντὶ τούτου τοῦ ϖατρός.
Σω. ἄγε νῦν, ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,
κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην;
Βδ. ἀλλ', ὦ ϖόνηρ', ἥξουσιν ὀλίγον ὕστερον
οἱ ξυνδικασταὶ ϖαρακαλοῦντες τουτονὶ
τὸν ϖατέρα.
Σω. τί λέγεις; ἀλλὰ νῦν ὄρθρος βαθύς.
Βδ. νὴ τὸν Δί'· ὀψὲ γοῦν ἀνεστήκασι νῦν.
ὡς ἀπὸ μέσων νυκτῶν ϖαρακαλοῦσίν γ' ἀεὶ,
λύχνους ἔχοντες, καὶ μινυρίζοντες μέλη
ἀρχαιομελησιδωνοφρυνιχήρατα,
οἷς ἐκκαλοῦνται τοῦτον.
Σω. οὐκοῦν, ἢν δέῃ,
ἤδη ϖοτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.
Βδ. ἀλλ', ὦ ϖόνηρε, τὸ γένος, ἤν τις ὀργίσῃ,
τὸ τῶν γερόντων, ἔσθ' ὅμοιον σφηκιᾷ.
ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
ὀξύτατον, ᾧ κεντοῦσι, καὶ κεκραγότες
ϖηδῶσι, καὶ βάλλουσιν, ὥσπερ φέψαλοι.
Σω. μὴ φροντίσῃς· ἐάνπερ ἐγὼ λίθους ἔχω,
ϖολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.
Χο. χώρει, ϖρόβαιν' ἐῤῥωμένως. ὦ Κωμία, βραδύνεις;
μὰ τὸν Δί', οὐ μέντοι πρὸ τοῦ γ'· ἀλλ' ἦσθ' ἱμὰς κύνειος·
νυνὶ δὲ κρείττων ἐστί σου Χαρινάδης βαδίζειν.
ὦ Στρυμόδωρε Κονθυλεῦ, βέλτιστε συνδικαστῶν,
Εὐεργίδης ἆρ' ἐστί ϖου 'νθαῦθ', ἢ Χάβης ὁ Φλυεύς;
πάρεσθ', ὃ λοιπόν ἐστιν, ἀππαπαὶ, παπαὶ, παπαιάξ,

Digitized by Google

ἥβης ἐκείνης, ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
φρουροῦντ' ἐγώ τε καὶ σύ· κᾆτα περιπατοῦντε νύκτωρ
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον·
κᾆθ' ἥψαμεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
ἀλλ' ἐγκονῶμεν, ἄνδρες, ὡς ἔσται Λάχητι νυνί·
σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
ἥκειν, ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηρὰν
ἐπ' αὐτὸν, ὡς κολουμένους, ὧν ἠδίκησεν. ἀλλὰ γὰρ
σπεύδωμεν, ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι.
χωρῶμεν, ἅμα τε τῷ λύχνῳ πάντη διασκοπῶμεν,
μή που λαθών ἡμᾶς τις ἐμποδὼν κακόν τι δράσῃ.

Πα. τὸν πηλὸν, ὦ πάτερ, πάτερ, τουτονὶ φύλαξαι.

Χο. κάρφος χαμᾶθεν σύ νυν λαβὼν, τὸν λύχνον πρόβυσον.

Πα. οὔκ· ἀλλὰ τῳδί μοι δοκῶ τὸν λύχνον προβύσειν.

Χο. τί δὴ παθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς;
καὶ ταῦτα τοὐλαίου σπανίζοντος, ὦ 'νόητε.
οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.

Πα. εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους, ἄπιμεν οἴκαδ' αὐτοί·
κᾄπειτ' ἴσως ἐν τῷ σκότῳ τουτουὶ στερηθεὶς,
τὸν πηλὸν, ὥσπερ ἀτταγᾶς, τυρβάσεις βαδίζων.

Χο. ἦ μὴν ἐγώ σου χ' ἀτέρους μείζονας κολάζω.
ἀλλ' οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι·
κοὐκ ἔσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.
ἔπεισι γοῦν τοῖσιν λύχνοις οὑτοιὶ μύκητες·
φιλεῖ δ', ὅταν ᾖ τουτὶ ποιεῖν ὑετὸν μάλιστα.

Digitized by Google

Byzantio contubernales eramus custodes ego et tu; deinde obambulantes noctu panariæ illius surripiebamus ligneum mortarium, quo fisso oleris agrestis nonnihil coquebamus. Sed festinemus, ô viri; nam de Lachete nunc judicium fiet. Aiunt autem omnes eum habere alveare plenum pecunia. Itaque heri Cleo, columen nostrum, nos jussit mature adesse, instructos in tres dies ira acerba contra ipsum, ut illius ulciscamur injurias. Eia agite, festinemus, ô æquales, antequam illucescat: pergamus, simulque cum lucerna usquequaque dispiciamus, ne quis ex insidiis imprudentes nos opprimat.

Puer. Lutum istud, mi pater, pater, cave.

Chor. Tu igitur humi festucam sume, et lucernam emunge.

Puer. Non. Sed hocce digito mihi videor lucernam probe emuncturus.

Chor. Quamobrem, ô stulte, digito promoves ellychnium, præsertim in ista olei penuria? non enim te mordet, quando care est emendum.

Puer. Edepol, si pergitis pugnis nos commonefacere, exstinctis lucernis nos domum abibimus: tum forte in tenebris hac lucerna carens, lutum turbabis ambulans, tanquam attagen.

Chor. Profecto ego alios etiam te majores castigo. Sed istud, quod calco, mihi cœnum videtur. Et mirum ni quatuor ad summum cis dies necesse fuerit Jovem pluere: adeo increvere in lucernis fungi: solet autem quam maxime, si istud fiat,

Digitized by Google

pluere. Expetunt autem fructus, quicunque sunt serotini, pluviam et Boreæ flatum. Quidnam huic sodali nostro judici, qui in hisce habitat ædibus, dicam accidisse, quod non prodit huc ad gregem nostrum? sane antehac non solebat remulco trahi: sed primus nobis præibat cantans Phrynichi carmen; etenim est cantus amans: sed ego censeo, ut hic stantes, ô viri, et cantantes eum eliciamus; si forte audiens meam cantilenam præ voluptate prorepat foras.

Quid causæ est, quamobrem ante ostium non apparet nobis hic senex, nec responsat? num perdidit calceos, aut digitum pedis in tenebris alicubi impegit, unde malleolus ei intumuit homini seni? et forte etiam inguen ei doleat. Sane multo acerrimus erat omnium nostrûm, et solus oratione non flectebatur. Sed si quando aliquis eum supplex rogaret, tum ille capite sic demisso dicebat, *Lapidem coquis.* Forte etiam propter istum hominem, qui nobis heri elapsus est, decipiens nos, et dicens *Se Atheniensium reipublicæ favere, quæque in Samo gererentur, primum se indicasse*; id, inquam, ægre ferens, forte nunc in febre cubat. Nam sic homo est. Sed, ô bone, surge, et ne te ipsum edas, neque stomacheris. Etenim adest homo quidam opulentus ex iis, qui Thraciam prodidere, quem vide ut infames plectasve capite.

I præ, puer, progredere.

PUER. Gratificaberisne ergo mihi, pater, si quid abs te rogem?

Digitized by Google

δεῖται δὲ καὶ τῶν καρπίμων ἄττα μή 'στι πρῷμα,
ὕδωρ γενέσθαι, κἀπιπνεῦσαι Βόρειον αὐτοῖς.
τί χρῆμ' ἄρ' οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν· ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθαδ', ὦνδρες,
ᾄδοντας αὐτὸν ἐκκαλεῖν· ἤν τι πως ἀκούσας
τοῦ 'μοῦ μέλους, ὑφ' ἡδονῆς ἐρπύσῃ θύραζε.
τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν
ὁ γέρων, οὐδ' ὑπακούει; μῶν ἀπολώλεκε τὰς ἐμ-
βάδας, ἢ προσέκοψε τῷ σκότῳ τὸν δάκτυλόν που;
εἶτ' ἐφλέγμηνεν αὐτοῦ τὸ σφυρὸν γέροντος ὄντος;
καὶ τάχ' ἂν βουβωνιῴη γ'· ἦ μὴν πολὺ δριμύτατός γ'
ἦν τῶν παρ' ἡμῖν, καὶ μόνος οὐκ ἂν ἐπείθετ'·
ἀλλ' ὁπότ' ἀντιβολοίη τις, κάτω κύπτων ἂν οὕτω,
Λίθον ἕψεις, ἔλεγεν. τάχα δ' ἂν
διὰ τὸν χθεσινόν γ' ἄνθρωπον, ὃς ἡμᾶς διεδύετ'
ἐξαπατῶν, καὶ λέγων, ὡς φιλαθήναιος ἦν, καὶ
τἀν Σάμῳ πρῶτος κατείποι, διὰ τοῦτ' ὀδυνηθεὶς
εἶτ' ἴσως κεῖται πυρέττων.
ἔστι γὰρ τοιοῦτος ἀνήρ.
ἀλλ', ὦ 'γάθ', ἀνίστασο, μηδ' οὕτως
ἔσθιε σαυτὸν, μηδ' ἀγανάκτει.
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει τῶν προδόντων
τἀπὶ Θρᾴκης· ὃν ὅπως αἰσχυνεῖς, ἐγχυτριεῖς.
ὕπαγ', ὦ παῖ, ὕπαγε.
Πα. ἐθελήσεις τί μοι οὖν, ὦ

Digitized by Google

πάτερ, ἤν σου τι δεηθῶ;
Χο. πάνυ γ', ὦ παιδίον· ἀλλ' εἰ-
πὲ τί βούλει με πρίασθαι
καλόν· οἶμαι δέ σ' ἐρεῖν ἀ-
στραγάλους δήπουθεν, ὦ παῖ.
Πα. μὰ Δί', ἀλλ' ἰσχάδας, ὦ παππία· ἥδιον γάρ.
Χο. οὐκ ἂν, μὰ τὸν Δί', εἰ κρέμοισθέ γ' ὑμεῖς.
Πα. μὰ Δί' οὐκ ἄρα προπέμψω σε τολοιπόν.
Χο. ἀπὸ γὰρ τοῦδ' ἐμὲ τοῦ μισθαρίου
τρίτον αὐτὸν ἔχειν ἄλφιτα δεῖ, καὶ
ξύλα, κὤψον· σὺ δὲ νῦν σῦκ' αἰτεῖς;
Πα. ἄγε νῦν, ὦ πάτερ, ἢν μὴ
τὸ δικαστήριον ὥρχων
καθίσῃ νῦν, πόθεν ὠνη-
σόμεθ' ἄριστον; ἔχεις ἐλ-
πίδα χρηστήν τινα νῷν, ἢ
ΠΟΡΟΝ ΕΛΛΑΣ ΙΕΡΟΝ;
Χο. ἀπαπαῖ, φεῦ.
μὰ Δί' οὐκ ἔγωγε νῷν
οἶδ' ὁπόθεν δεῖπνον ἔσται.
Πα. τί με δῆτ', ὦ μελέα μῆτερ, ἔτικτες,
ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς.
Χο. ἀνόνητόν σ' ἄρ', ὦ θυλάκιόν γ',
εἶχον ἄγαλμα.
Πα. ἒ, ἔ· πάρα νῷν στενάζειν.

ΦΙΛΟΚΛΕΩΝ, ΧΟΡΟΣ, ΒΔΕΛΥΚΛΕΩΝ, ΣΩΣΙΑΣ, ΞΑΝΘΙΑΣ, ΚΥΩΝ.

Φι. ΦΙΛΟΙ, πάλαι μὲν τήκομαι, διὰ τῆς ὀπῆς

Digitized by Google

Chor. Omnino, mi filiole: sed dic, quid velis me tibi emere boni: arbitror autem te dicturum talos fortasse, mi filii.

Puer. Neutiquam hercle, pater dulcissime; sed ficus: plus enim placent.

Chor. Non edepol emam, si vel suspendatis vos.

Puer. Non edepol ergo amplius te deducam.

Chor. Nam ab ista tenui mercede judiciaria oportet tertium me nunc habere panem et ligna et obsonium: tu autem præterea ficus a me petis?

Puer. Age vero, mi pater, si noluerit Prætor nunc fieri consessum judicum, unde ememus prandium? habesne spem aliquam bonam nobis, aut *viam Helles sacram?*

Chor. Apapæ! heu! Equidem hercle nescio, unde nobis erit cœna.

Puer. Cur me ergo peperisti, ô infelix mater, ut molestias sufferam in alendo patre?

Chor. Inutile ergo, ô saccule, te habui decus.

Puer. Heu, heu! parati nobis sunt gemitus.

PHILOCLEO, CHORUS, BDELYCLEO, SOSIA, XANTHIA, CANIS.

Phil. Amici, dudum tabesco, per foramen vos audiens, vo-

Digitized by Google

bisque responsare cupiens. Sed canere nequeo. Quid agam? adservor ab istis. Jampridem enim cupio vobiscum ire ad urnas judiciarias, et mali quid facere. Sed, ô Jupiter, tona vehementer, et me subito fac fumum, aut Proxeniadem, aut Selli filium, qui mentitur labruscam: ne dubita, ô rex, istud mihi gratificari, sortem miseratus meam: aut me fulmine ardenti cinefac ocius: deinde me sublatum flatu impelle in acidam muriam ferventem; aut me in lapidem illum converte, super quo calculos dinumerant.

Chor. Quis est ergo, qui te sic cohibet, et occludit fores? Dic; nam amicis dixeris.

Phil. Gnatus meus. Sed ne clamate: etenim in anteriore parte ædium dormit: sed submissiore voce loquimini.

Chor. At ista faciens, ô nugator, quanam a re se prohibiturum te cogitat? quamnam prætendit causam?

Phil. Non sinit me, ô amici, judicare, nec quidpiam mal facere. Sed me conviviis exhilarare paratus est; ego autem nolo.

Digitized by Google

ὑμῶν ὑπακούων· ἀλλὰ γὰρ οὐχ οἷός τ' εἴμ'
ᾄδειν. τί ποιήσω; τηροῦμ' ὑπὸ τῶνδ', ἐπεὶ
βούλομαί γε πάλαι πάνυ μεθ' ὑμῶν
ἐλθὼν ἐπὶ τοὺς καδίσκους
κακόν τι ποιῆσαι.
ἀλλ', ὦ Ζεῦ, μέγα βρόντα, κἀμὲ ποίησον
καπνὸν ἐξαίφνης,
ἢ Προξενιάδην, ἢ τὸν Σέλ-
λου, τοῦτον τὸν ψευδαμάμαξυν.
τόλμησον, ἄναξ, χαρίσασθαί μοι,
πάθος οἰκτείρας· ἤ με κεραυνῷ
διατινθαλέῳ σπόδισον ταχέως·
κᾄπειτ' ἀνελών μ' ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμήν·
ἢ δῆτα λίθον με ποίησον, ἐφ' οὗ
τὰς χοιρίνας ἀριθμοῦσιν.

Χορός.

τίς γάρ ἐσθ' ὁ ταῦτά σ' εἴργων, κἀποκλείων τὰς θύρας;
λέξον· πρὸς εὔνους γὰρ φράσεις.

Φιλοκλέων.

οὑμὸς υἱός. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει
οὑτοσὶ πρόσθεν καθεύδων. ἀλλ' ὕφεσθε τοῦ τόνου.

Χορός.

τοῦ δ' ἐφέξειν, ὦ μάταιε, ταῦτα δρῶν, σε βούλεται;
τίνα πρόφασιν ἔχων;

Φιλοκλέων.

οὐκ ἐᾷ μ', ὦνδρες, δικάζειν, οὐδὲ δρᾶν οὐδὲν κακόν·
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐστ'· ἐγὼ δ' οὐ βούλομαι.

Digitized by Google

Χορός.

τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χανεῖν, ὁ Δημολογοκλέων,
ὅτι λέγεις περὶ τῶν νεῶν τἀληθές;

Φιλοκλέων.

οὐ γὰρ ἄν ποθ' οὗτος ἀνὴρ τοῦτ' ἐτόλμησεν λέγειν,
εἰ μὴ ξυνωμότης τις ἦν.

Χορός.

ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν,
ἥτις σε λάθρα τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο ποιήσει.

Φιλοκλέων.

τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς· ὡς πᾶν ἂν ἔγωγε ποιοίμην·
οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.

Χορός.

ἔστιν ὀπὴ δῆθ', ἥντιν' ἂν ἔνδοθεν οἷός τ' εἴης διορύξαι,
εἶτ' ἐκδῦναι ῥάκεσιν κρυφθεὶς, ὥσπερ πολύμητις Ὀδυσσεύς;

Φιλοκλέων.

πάντα πέφρακται, κοὐκ ἔστιν ὀπῆς οὐδ' εἰ σέρφῳ διαδῦναι.
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς· ὀπίαν δ' οὐκ ἔςι γενέσθαι.

Χορός.

μέμνησαι δῆθ', ὅτ' ἐπὶ ςρατιᾶς κλέψας ποτὲ τὲς ὀβελίσκες,
ἵεις σαυτὸν κατὰ τοῦ τείχους, ὅτε δή γ' ἡ Νάξος ἑάλω;

Φιλοκλέων.

οἶδ'· ἀλλὰ τί τἒτ'; ἐδὲν γὰρ τἒτ' ἐστὶν ἐκείνῳ προσόμοιον.
ἥβων γὰρ, κἀδυνάμην κλέπτειν, ἴσχυόν τ' αὐτὸς ἐμαυτοῦ·
κοὐδείς μ' ἐφύλαττ', ἀλλ' ἐξῆν μοι
φεύγειν ἀδεῶς. νῦν δὲ ξὺν ὅπλοις
ἄνδρες ὁπλῖται διαταξάμενοι,
κατὰ τὰς διόδους σκοπιωροῦνται.
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις

Digitized by Google

Chor. Hoccine impurus ille ausus est hiscere, Populi et Cleonis osor, quia nimirum vera dicis de navibus?

Phil. Nunquam sane iste homo hoc ausus fuisset dicere, nisi conjurationis esset alicujus particeps.

Chor. Sed hæc quum ita sint, tempus est maximum, ut quæras novum aliquod commentum, quod te faciat clam isto viro huc descendere.

Phil. Quidnam id esse possit? vos quærite. Nam ego quodlibet faciam, tanta flagro cupiditate per subsellia spatiari cum calculo.

Chor. Estne, quæso, foramen aliquod, quod intus possis perfodere, atque elabi pannis tectus, uti callidus ille Ulysses?

Phil. Omnia sunt obsepta, nec vel formicæ patet exitus. Sed aliud quidpiam quærere vos oportet: per foramen perrepere non licet.

Chor. Meministin' ergo, ut militans olim furatus es verua, iisque depactis in murum ex eo te demisisti, quando Naxus capta fuit?

Phil. Novi: sed quid istud? non enim hic status rerum illi similis est. Quippe juvenis tum eram, et poteram furari, integerque vigoris eram: nec quispiam me custodiebat: sed mihi tuto licebat fugere: nunc autem cum armis satellites ordine dispositi per vias in speculis sunt: eorum autem duo isti

Digitized by Google

ad ostium, tanquam mustelam, quæ carnem furata est, me observant, verua manibus tenentes.

Chor. Sed etiamnum exprome aliquam machinationem quamprimum, ô mellite; nam Aurora adest.

Phil. Optimum itaque erit perrodere rete. Ignoscat autem mihi Dictynna quod retia lædo.

Chor. Viri fungeris officium ad salutem tendentis: sed admove tuam maxillam.

Phil. Perrosum hoc quidem est: sed nihil quicquam clamate: verum caveamus, ne Bdelycleo persentiscat.

Chor. Nihil formides, ô amice, nihil: nam ego illum, si mutit, cogam mordere cor suum, et de vita certare; ut scita non esse calcanda Cereris et Proserpinæ scita. Sed funem aptato ad fenestram, deinde alligatum te ipsum demitte, et concipe animo furorem Diopithis.

Phil. Age nunc, si isti sentiant hæc, et me velint reducere atque retrahere intro, quid facietis? dicite jam.

Chor. Opem tibi feremus, et omne robur adsciscemus animi, ut nequeant te cohibere: talia nos facinora inceptabimus.

Digitized by Google

ὥσπερ με γαλῆν κρέα κλέψασαν
τηροῦσιν, ἔχοντ' ὀβελίσκους.

Χορός.

ἀλλὰ καὶ νῦν ἐκπόριζε μηχανὴν ὅπως τάχισθ'·
ἕως γάρ, ὦ μελίττιον.

Φιλοκλέων.

διατραγεῖν τοίνυν κράτιστόν ἐστί μοι τὸ δίκτυον.
ἡ δ' ἐμοὶ Δίκτυννα συγγνώμην ἔχοι τοῦ δικτύου.

Χορός.

ταῦτα μὲν πρὸς ἀνδρὸς ἔστ' ἀνόντος ἐς σωτηρίαν.
ἀλλ' ἔπαγε δὴ τὴν σὴν γνάθον.

Φιλοκλέων.

διατέτρωκται τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶς·
ἀλλὰ τηρώμεσθ', ὅπως μὴ Βδελυκλέων αἰσθήσεται.

Χορός.

μηδέν, ὦ 'τάν, δέδιθι, μηδέν· ὡς ἐγὼ τοῦτόν γ', ἐὰν
γρύξῃ τι, ποιήσω δακεῖν
τὴν καρδίαν,
καὶ τὸν περὶ ψυχῆς δρόμον
δραμεῖν· ἵν' εἰδῇ μὴ πατεῖν
τὰ ταῖν θεαῖν ψηφίσματα.
ἀλλ' ἐξάψας διὰ τῆς θυρίδος τὸ καλώδιον, εἶτα καθίμα
δήσας σαυτόν, καὶ τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθους.

Φιλοκλέων.

ἄγε νῦν, ἢν αἰσθομένω τούτω ζητῆτόν μ' ἐκκαλαμᾶσθαι,
κἀνάσπαστον ποιεῖν εἴσω, τί ποιήσετε; φράζετε νυνί.

Χορός.

ἀμυνοῦμέν σοι, τὸν πρινώδη θυμὸν ἅπαντες καλέσαντες,

Digitized by Google

ὥς' ἐ δυνατόν σ' εἴργειν ἔςαι· τὰ τοιαῦτα ποιήσομεν ἡμεῖς.

Φιλοκλέων.

δράσω τοίνυν, ὑμῖν πίσυνος· καὶ μανθάνετ'· ἤν τι πάθω 'γὼ, ἀνελόντες καὶ κατακλαύσαντες θεῖναί μ' ὑπὸ τοῖσι δρυφάκτοις.

Χορός.

οὐδὲν πείσει· μηδὲν δείσῃς. ἀλλ', ὦ βέλτιστε, καθίει σαυτὸν θαῤῥῶν, κἀπευξάμενος τοῖσι πατρῴοισι θεοῖσιν.

Φιλοκλέων.

ὦ Λύκε δέσποτα, γείτων ἥρως· σὺ γὰρ, οἷσπερ ἐγὼ, κεχάρησαι, τοῖς δακρύοισιν τῶν φευγόντων αἰεὶ καὶ τοῖς ὀλοφυρμοῖς· ᾤκησας γοῦν ἐπίτηδες ἰὼν ἐνταῦθ', ἵνα ταῦτ' ἀκροῷο, κἀβουλήθης μόνος ἡρώων παρὰ τὸν κλάοντα καθῆσθαι. ἐλέησον καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πλησιόχωρον· κοὐ μήποτέ σου παρὰ τὰς κάννας οὐρήσω, μηδ' ἀποπαρδῶ.

Βδελυκλέων.

οὗτος, ἐγείρου.

Σωσίας.

τί τὸ πρᾶγμ';

Βδελυκλέων.

ὥσπερ φωνή με τις ἐγκεκύκλωται.

Σωσίας.

μῶν ὁ γέρων ὅδε πῃ διαδύεται;

Βδελυκλέων.

μὰ Δί' οὐ δῆτ', ἀλλὰ καθιμᾷ αὑτὸν δήσας.

Σωσίας.

ὦ μιαρώτατε, τί ποιεῖς; οὐ μὴ καταβήσει.

Βδελυκλέων.

ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν, καὶ ταῖσιν φυλλάσι παῖε,

Digitized by Google

Phil. Faciam igitur quod suadetis, vobis fretus; et mementote, si quid mihi acciderit, ut me vestris manibus sublatum et defletum, sub cancellis sepeliatis.

Chor. Nihil mali accidet tibi, ne timeas: sed, ô bone, demitte te ipsum audacter, invocatis patris diis.

Phil. O Lyce domine, heros vicine; tu enim iisdem, quibus ego, delectaris, perpetuis reorum lacrimis et lamentis: huc sane venisti habitatum data opera, ut ista audires, et solus omnium heroum voluisti apud flentem sedere: miserere mei, et me vicinum tuum nunc serva. Sic nunquam ad tuas storeas mingam aut pedam.

Bdel. Eho tu surge.

Sos. Quid negoti est?

Bdel. Quasi vox quædam me circumsonat.

Sos. An senex ille aliquorsum prorepit?

Bdel. Non hercle: sed fune se vinctum demittit.

Sos. O impurissime, quid facis? nunquam descendes.

Bdel. Ascende ocius in alteram fenestram, et verbera ramis, si qua ratione retro se convertat, illis cæsus.

Digitized by Google

Phil. Nonne suppetias venietis, quotquot hoc anno litigaturi estis, ô Smicythio, et Tisiade, et Chremo, et Pheredipne? Quando autem, nisi nunc, opitulabimini mihi, antequam magis introrsum trahar?

Chor. Dicite mihi, quid cessamus commovere illam bilem, quam solemus, quum quis nostrum crabronum examen excitaverit? nunc, nunc ille iracundiæ nostræ stimulus, quo sontes castigamus, acutus erigitur. Sed, abjectis tunicis, ocius, ô pueri, currite et clamate, et Cleoni hæc nuntiate, ipsumque jubete venire, ut contra hominem reipublicæ osorem et pessime periturum, quia sententiam hanc introducit, lites non oportere judicarier.

Bdel. O boni, rem ipsam audite et ne clamate.

Chor. Pol in cœlum usque tollemus clamorem: nam hunc ego non deseram.

Bdel. Annon intolerabilia sunt hæc, et manifeste tyrannica?

Chor. O cives, et Theore deorum contemtor, et si quis alius assentator nobis præsidet!

Xanth. O Hercules! spicula etiam habent. Nonne vides, ô here?

Bdel. Sane, quibus Philippum Gorgiæ filium judicantes perdiderunt.

Chor. Et te rursus perdemus. Sed unusquisque convertere huc, et exserto spiculo hunc pete, constipatus, ordinatus, ira et furore plenus, ut deinceps sciat quale examen irritaverit.

Digitized by Google

ἤν πως πρύμναν ἀνακρούσηται, πληγεὶς ταῖς εἰρεσιώναις.

Φιλοκλέων.

οὐ ξυλλήψεσθ', ὁπόσοισι δίκαι τῆτες μέλλουσιν ἔσεσθαι,
ὦ Σμικυθίων, καὶ Τισιάδη, καὶ Χρήμων, καὶ Φερέδειπνε;
πότε δ', εἰ μὴ νῦν, ἐπαρήξετέ μοι, πρίν μ' εἴσω μᾶλλον ἄγεσθαι;

Χορός.

εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν,
ἥνπερ, ἡνίκ' ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκιάν;
νῦν ἐκεῖνο, νῦν ἐκεῖνο τοὐξύθυμον,
ᾧ κολαζόμεσθα, κέντρον
ἐντέτατ' ὀξύ.
ἀλλὰ θαἰμάτια βαλόντες, ὡς τάχιστα, παιδία,
θεῖτε, καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε,
καὶ κελεύετ' αὐτὸν ἥκειν,
ὡς ἐπ' ἄνδρα μισόπολιν
ὄντα, κἀπολούμενον,
ὅτι λόγον τόνδ' εἰσφέρει,
ὡς δίκας χρὴ μὴ δικάζειν.

Βδ. ὦ 'γαθοί, τὸ πρᾶγμ' ἀκούσατ'· ἀλλὰ μὴ κεκράγετε.
Χο. νὴ Δί', ἐς τὸν οὐρανόν γ'· ὡς τόνδ' ἐγὼ οὐ μεθήσομαι.
Βδ. ταῦτα δῆτ' οὐ δεινά, καὶ τυραννίς ἐστιν ἐμφανής;
Χο. ὦ πόλις, καὶ Θεώρου θεοσεχθρία,
κεἴ τις ἄλλος προέστηκεν ἡμῶν κόλαξ.
Ξα. Ἡράκλεις, καὶ κέντρ' ἔχουσιν. οὐχ ὁρᾷς, ὦ δέσποτα;
Βδ. οἷς γ' ἀπώλεσαν Φίλιππον ἐν δίκῃ τὸν Γοργίου;
Χο. καὶ σέ γ' αὖτις ἐξολοῦμεν· ἀλλ' ἅπας ἐπίστρεφε
δεῦρο, κἀξείρας τὸ κέντρον, εἶτ' ἐπ' αὐτὸν ἵεσο,
ξυσταλείς, εὔτακτος, ὀργῆς καὶ μένους ἐμπλήμενος,

Digitized by Google

ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν, σμῆνος οἷον ὤργισεν.
Ξα. τοῦτο μέντοι δεινὸν ἤδη, νὴ Δί', εἰ μαχούμεθα·
ὡς ἔγωγ' αὐτῶν ὁρῶν δέδοικα τὰς ἐγκεντρίδας.
Χο. ἀλλ' ἀφίει τὸν ἄνδρ'· εἰ δὲ μὴ, φήμ' ἐγὼ
τὰς χελώνας μακαριεῖν σε τοῦ δέρματος.
Φι. εἶα νῦν, ὦ ξυνδικασταὶ, σφῆκες ὀξυκάρδιοι,
οἱ μὲν εἰς τὸν πρωκτὸν αὐτῶν εἰσπέτεσθ' ὠργισμένοι·
οἱ δὲ τὼ 'φθαλμῶν κύκλῳ κεντεῖτε καὶ τοὺς δακτύλους.
Βδ. ὦ Μίδα, καὶ Φρὺξ, βοηδρομεῖτε, καὶ Μασυντία·
καὶ λάβεσθε τουτουῒ, καὶ μὴ μεθῆσθε μηδενί·
εἰ δὲ μὴ, 'ν πέδαις παχείαις οὐδὲν ἀριστήσετε.
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.
Χο. εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἕν τι σοι παγήσεται.
Φι. ὦ Κέκροψ ἥρως ἄναξ, τὰ πρὸς ποδῶν Δρακοντίδη,
περιορᾷς οὕτω μ' ὑπ' ἀνδρῶν βαρβάρων χειρούμενον,
οὓς ἐγὼ 'δίδαξα κλάειν τέτταρ' ἐς τὴν χοίνικα;
Χο. εἶτα δῆτ' οὐ πόλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακὰ
δηλαδή; καὶ νῦν γε τούτω τὸν παλαιὸν δεσπότην
πρὸς βίαν χειροῦσιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν, κᾀξωμίδων, ἃς οὗτος αὐτοῖς ἠμπόλα,
καὶ κυνᾶς· καὶ τοὺς πόδας χειμῶνος ὄντος ὠφέλει,
ὥστε μὴ ῥιγῶν γ' ἑκάστοτ'. ἀλλὰ τούτοις γ' οὐκ ἔνι
οὐδ' ἐν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.
Φι. οὐκ ἀφήσεις οὐδὲ νυνί μ', ὦ κάκιστον θηρίον;
οὐδ' ἀναμνησθεὶς, ὅθ' εὑρὼν τοὺς βότρυς κλέπτοντά σε,
προσαγαγὼν πρὸς τὴν ἐλάαν, ἐξέδειρ' εὖ κᾀνδρικῶς,
ὥστε σε ζηλωτὸν εἶναι, σὺ δ' ἀχάριστος ἦσθ' ἄρα.
ἀλλ' ἄνες με, καὶ σὺ, καὶ σὺ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν.

Digitized by Google

Xanth. Atqui hercle hoc jam grave est, si pugnandum erit: nam ego quidem timeo, quum eorum aculeos video.

Chor. Sed amitte virum; sin minus, aio te beatas prædicaturum testudines, ob tergi duritiam.

Phil. Eia nunc, ô sodales judices, crabrones irritabiles, partim in culum ei involate irati; partim oculos circumcirca pungite et digitos.

Bdel. O Mida, et tu Phryx, huc succurrite, et tu Masyntia, istumque tenete, neque cuiquam eum dimittite; sin minus, in crassis compedibus jejunia agetis. Nam ego jam sæpius ficulneorum foliorum crepitum audivi.

Chor. Nisi hunc dimiseris, spiculum infigetur tibi.

Phil. O Cecrops heros, domine noster, in draconem desinens, paterisne me sic a barbaris hominibus opprimi, quos ego docui quatuor mensuras lacrimarum fundere in chœnicem?

Chor. Ergone in senectute multa non insunt incommoda scilicet? nunc etiam ambo isti veterem herum vi capiunt, subiguntque, immemores renonum et exomidum, quas iste eis emit, et galerorum, et ut hieme pedes eis fovebat, ne quando frigerent: sed illis non inest in oculis pudor nec reverentia veterum calceorum.

Phil. Nonne me nunc quidem dimittes, pessima bestia, nec in memoriam revocans, quando te uvas furantem deprehendi, et adductum ad oleam probe flagris concidi usque ad invidiam? at tu ingrati animi homo eras. Sed dimitte me et tu, et tu, priusquam gnatus meus huc excurrat.

Digitized by Google

CHOR. Sed horum mox pœnas nobis dabitis non ita multo post; ut sciatis, qualis sit mos hominum iracundorum et justorum et acerba tuentium.

BDEL. Cæde, cæde, ô Xanthia, et abige crabrones ab ædibus.

XANTH. Atqui hoc ago; sed et tu largo fumo illos preme.

SOS. Nonne in malam rem facessetis? non abibitis? percute caudice.

XANTH. Et tu imposito in ignem Æschine Selli filio, fac fumum. Eramus ergo vos abacturi tandem.

BDEL. Sed mehercle non tam facile illis defunctus fuisses, si forte de carminibus Philoclis comedissent.

CHOR. Annon ergo hæc manifesta sunt pauperibus, ut clam me imprudente insinuarit se tyrannis? siquidem tu, ô improbissime, superbique illius sectator Amyniæ, a legibus nos arces, quas constituit nostra civitas, neque causam ullam prætendens, neque orationem comem, quamobrem solus ipse domineris.

BDEL. Possemusne sine pugna et acuto clamore sermones conferre inter nos, et in gratiam redire?

CHOR. Tecumne conferam sermones, ô populi osor, et monarchiæ cupide, et familiaris Brasidæ, qui gestas fimbriam e tæniis, et barbam intonsam alis?

BDEL. Edepol næ satius est, ut a patre meo prorsus abscedam, potius quam quotidie conflicter cum tantis malis.

Digitized by Google

Χο. ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην,
οὐκέτ' ἐς μακρὰν, ἵν' εἰδῆθ', οἷόν ἐστ' ἀνδρῶν τρόπος
ὀξυθύμων, καὶ δικαίων, καὶ βλεπόντων κάρδαμα.
Βδ. παῖε, παῖ, ὦ Ξανθία, τοὺς σφῆκας ἀπὸ τῆς οἰκίας.
Ξα. ἀλλὰ δρῶ τοῦτ'· ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ καπνῷ.
Σω. οὐχὶ σοῦσθ' ἐς κόρακας; οὐκ ἄπιεσθε; παῖε τῷ ξύλῳ.
Ξα. καὶ σὺ προσθεὶς Αἰσχίνην ἔντυφε τὸν Σελαρτίου.
ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ.
Βδ. ἀλλὰ μὰ Δί' οὐ ῥαδίως οὕτως ἂν αὐτοὺς διέφυγες,
εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέους βεβρωκότες.
Χο. ἆρα δῆτ' οὐκ αὐτὰ δῆλα
τοῖς πένησιν, ἡ τυραννὶς
ὡς λάθρα μ' ἐλάνθαν' ὑπιοῦσ';
εἰ σύ γ', ὦ πόνῳ πονηρὲ, καὶ κομηταμυνία,
τῶν νόμων ἡμᾶς ἀπείργεις, ὧν ἔθηκεν ἡ πόλις·
οὔτε τιν' ἔχων πρόφασιν,
οὔτε λόγον εὐτράπελον,
αὐτὸς ἄρχων μόνος.
Βδ. ἔσθ' ὅπως ἄνευ μάχης καὶ τῆς κατοξείας βοῆς,
ἐς λόγους ἔλθωμεν ἀλλήλοισι, καὶ διαλλαγάς;
Χο. σοὶ λόγους, ὦ μισόδημε,
καὶ μοναρχίας ἐραστὰ,
καὶ ξυνὼν Βρασίδᾳ, καὶ φορῶν
κράσπεδα στεμμάτων, τήν θ' ὑ-
πήνην ἄκουρον τρέφων;
Βδελυκλέων.
νὴ Δί' ἤ μοι κρεῖττον ἐκστῆναι τοπαράπαν τοῦ πατρὸς
μᾶλλον, ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὁσημέραι.

Digitized by Google

Χορός.

οὐδὲ μὴν γ' οὐδ' ἐν σελίνῳ πε 'σὶλν, ὀδ' ἐν πηγάνῳ·
τοῦτο γὰρ παρεμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν.
ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖς· ἀλλ' ὅταν ξυνήγορος
ταυτὰ ταῦτά σου καταντλῇ, καὶ ξυνωμότας καλῇ.

Βδελυκλέων.

ἆρά γ' ἂν, πρὸς τῶν θεῶν, ὑμεῖς ἀπαλλαχθεῖτέ με
ἢ δέδοκταί μοι δέρεσθαι καὶ δέρειν δι' ἡμέρας.

Χορός.

οὐδέποτέ γ'· οὐχ, ἕως ἄν τι μου λοιπὸν ᾖ·
ὅστις ἡμῶν ἐπὶ τυραννίδα κατεστάλης.

Βδελυκλέων.

ὡς ἅπανθ' ὑμῖν τυραννίς ἐστι καὶ ξυνωμόται,
ἤν τε μεῖζον, ἤν τ' ἔλαττον πρᾶγμά τις κατηγορῇ,
ἧς ἐγὼ οὐκ ἤκουσα τοὔνομ' οὐδὲ πεντήκοντ' ἐτῶν·
νῦν δὲ πολλῷ τοῦ ταρίχους ἐστὶν ἀξιωτέρα·
ὥστε καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
ἢν μὲν ὠνῆταί τις ὀρφῶς, μεμβράδας δὲ μὴ θέλῃ,
εὐθέως εἴρηχ' ὁ πωλῶν πλησίον τὰς μεμβράδας·
Οὗτος ὀψωνεῖν ἔοικ' ἄνθρωπος ἐπὶ τυραννίδι.—
ἢν δὲ γήτειον προσαιτῇ τις ἀφύαις ἥδυσμά τι,
ἡ λαχανόπωλις παραβλέψασα φησὶ θατέρῳ·
Εἰπέ μοι, γήτειον αἰτεῖς· πότερον ἐπὶ τυραννίδι;
ἢ νομίζεις τὰς 'Αθήνας σοι φέρειν ἡδύσματα;

Ξανθίας.

κἀμέ γ' ἡ πόρνη χθὲς εἰσελθόντα τῆς μεσημβρίας,
ὅτι κελητίσαι 'κέλευον, ὀξυθυμηθεῖσά μοι,
ἤρετ', εἰ τὴν 'Ιππίου καθίσταμαι τυραννίδα.

Digitized by Google

Chor. Nec in apio nec in ruta sunt adhuc res istæ: hoc enim inseremus vilissimum verbum: et nunc quidem nihil dolet tibi; sed dolebit, quum orator eadem ista in te ingeret crimina, conjuratosque tuos vocabit.

Bdel. Obsecro per deos, estisne vos hinc discessuri? sin aliter, constitutum est mihi vapulare usque et verberare toto die.

Chor. Nunquam desistam, donec aliqua pars mei reliqua erit, quando tu ad tyrannidem affectas viam.

Bdel. Nempe omnia vos tyrannidem et conjurationem nominatis, sive majus, sive quis minus crimen alicui intentet, cujus ego tyrannidis nomen quinquaginta annis ne semel quidem audiveram. Sed nunc multo vilior est salsamentis, adeo ut illius nomen jam in foro etiam circumferatur. Nam si quis emat orphos, nolit autem membradas, illico dicit ille, qui in proximo vendit membradas: *Iste homo videtur obsonare ad tyrannidem.* Si quis autem porrum petat ad condiendas apuas, olerum venditrix limis intuens dicit illi: *Porrum petis: dic mihi, num paras tyrannidem? an putas tibi Athenas condimenta tributi instar ferre?*

Xanth. Me quoque scortum, quum heri meridie ad illud ingressus essem, quia jubebam, ut supinum agitaret equum, iratum interrogavit, *an Hippiæ tyrannidem constituam.*

Digitized by Google

Bdel. Hæc enim istis auditu jucunda: et nunc ego, qui volo, ut pater meus, his relictis moribus, primo mane dom non egrediatur, delationibus et litibus misere vacaturus, sed vitam agat splendidam, uti Morychus, insimulor ista facere ex conjuratione, tyrannidisque studio.

Phil. Tuo quidem hercle merito: namque ego vel gallinarum lac nihili faciam præ ista vivendi ratione, a qua me nunc abducere satagis: neque delector raiis, nec anguillis: sed libentius comederem liticulam minutam in patina suffocatam.

Bdel. Namque edepol assuevisti ejusmodi rebus delectari. Sed si poteris patienter silere, et cognoveris quæ dicam, arbitror tibi me ostensurum, ut ista omnia te falsum habeant.

Phil. Fallor, quando judico?

Bdel. Et quidem derideri te non sentis ab hominibus, quos tu tantum non adoras. Quin insciens servitutem servis.

Phil. Desine memorare servitutem mihi, qui omnibus impero.

Bdel. Haud tu quidem: verum servus es, dum te putas imperare. Nam doce nos, ô pater, quid tibi accedit dignitatis, qui tributa Græciæ in rem tuam convertis.

Digitized by Google

Βδελυκλέων.

ταῦτα γὰρ τούτοις ἀκούειν ἡδέα γε. καὶ νῦν ἐγὼ
τὸν πατέρ' ὅτι βούλομαι, τούτων ἀπαλλαχθέντα τῶν
ὀρθροφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων,
ζῆν βίον γενναῖον, ὥσπερ Μόρυχος, αἰτίαν ἔχω
ταῦτα δρᾶν, ξυνωμότης ὢν, καὶ φρονῶν τυραννίδα.

Φιλοκλέων.

νὴ Δί' ἐν δίκῃ γ'. ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίθων γάλα
ἀντὶ τοῦ βίου λάβοιμ' ἂν, οὗ με νῦν ἀποστερεῖς·
οὐδὲ χαίρω βατίσιν, οὐδ' ἐγχέλυσιν· ἀλλ' ἥδιον ἂν
δικίδιον σμικρὸν φάγοιμ' ἂν, ἐν λοπάδι πεπνιγμένον.

Βδελυκλέων.

νὴ Δί' εἰθίσθης γὰρ ἥδεσθαι τοιούτοις πράγμασιν·
ἀλλ' ἐὰν σιγῶν ἀνάσχῃ, καὶ μάθῃς ἃ 'γὼ λέγω,
ἀναδιδάξειν σ' οἴομαί γ', ὡς πάντα ταῦθ' ἁμαρτάνεις.

Φιλοκλέων.

ἐξαμαρτάνω δικάζων;

Βδελυκλέων.

καταγελώμενος μὲν οὖν
οὐκ ἐπαΐεις ὑπ' ἀνδρῶν, οὓς σὺ μονονοὺ προσκυνεῖς.
ἀλλὰ δουλεύων λέληθας.

Φιλοκλέων.

παῦε δουλείαν λέγων,
ὅστις ἄρχω τῶν ἁπάντων.

Βδελυκλέων.

οὐ σύ γ'· ἀλλ' ὑπηρετεῖς,
οἰόμενος ἄρχειν· ἐπεὶ δίδαξον ἡμᾶς, ὦ πάτερ,
ἥτις ἡ τιμή 'στί σοι, καρπουμένῳ τὴν Ἑλλάδα.

Digitized by Google

Φιλοκλέων.

πάνυ γε· καὶ τούτοισιν ἐπιτρέψαι θέλω.

Βδελυκλέων.

καὶ μὴν ἐγώ.

ἄφετε νῦν ἅπαντες αὐτὸν, καὶ ξίφος γ' ἐμοὶ δότε.
ἢν γὰρ ἡττηθῶ λέγων σου, περιπεσοῦμαι τῷ ξίφει.
εἰπέ μοι· τί δ', ἢν, τὸ δεῖνα, τῇ διαίτῃ μὴ 'μμένῃς;

Φιλοκλέων.

μηδέποτε πίοιμ' ἀκράτου μισθὸν Ἀγαθοῦ Δαίμονος.

Χορός.

νῦν σε, τὸν ἐκ θἠμετέρου
γυμνασίου, λέγειν τι δεῖ
καινὸν, ὅπως φανήσει
μὴ κατὰ τὸν νεανίαν
τόνδε λέγειν. ὁρᾷς γὰρ ὡς
σοὶ μέγας ἔστ' ἀγὼν,
καὶ περὶ τῶν ἁπάντων,
εἴπερ, ὃ μὴ γένοιτο, νῦν
οὗτος ἐθέλει κρατῆσαι.

Βδελυκλέων.

ἐνεγκάτω μοι δεῦρο τὴν κίστην τις ὡς τάχιστα.

Χορός.

ἀτὰρ φανεῖ ποιός τις ὢν,
ἢν ταῦτα παρακελεύῃ.

Βδελυκλέων.

καὶ μὴν ὅσ' ἂν λέξῃ γ', ἁπλῶς μνησόσυνα γράψομαι 'γώ.

Φιλοκλέων.

τί γὰρ φάθ' ὑμεῖς, ἢν ὁδί με τῷ λόγῳ κρατήσῃ;

Digitized by Google

PHIL. Plurimum vero: voloque his arbitrium permittere.

BDEL. Ego etiam. Dimittite nunc eum omnes, et gladium mihi date. Nam si argumentis a te victus fuero, gladio incumbam. At, perii! dic mihi, quid, si non acquieveris arbitrorum sententia?

PHIL. Nunquam bibam meri mercedem Boni Geni.

CHOR. Nunc autem te, qui e nostra palæstra es, oportet dicere quid novi, ut videaris—

(BDEL. Ferat mihi huc scrinium aliquis ocius.

CHOR. Sed non prorsus homo nihili videberis esse, si istud tibi jubes dari.) non ita, ut adolescens iste, verba facere. Vides enim quam magnum tibi instet certamen, in quo omnia in discrimen adducuntur, si, quod absit, iste victor erit.

BDEL. Etenim quæcunque dixerit, memoriæ causa summatim notabo.

PHIL. Quid autem vos dicitis, si iste oratione me superaverit?

Digitized by Google

Chor. Non amplius senum turba utilis foret, nec hilum. Nam irrideremur per vias omnes et thallophori vocaremur, litium putamina. Sed ô qui disceptabis de universo imperio nostro, nunc audacter omnium linguæ tuæ virium fac periculum.

Phil. Equidem statim ab ipsis carceribus imperium nostrum argumentis ostendam, ut nullo regno sit inferius. Quid enim fortunatum aut beatum magis nunc est judice, aut deliciis magis abundans, aut formidabilius animal, præsertim sene? quem primum quidem prorepentem e lecto observant apud cancellos homines magni et quadricubitales: deinde statim accedens aliquis injicit mihi manum mollem, quæ furta fecit publicæ pecuniæ: supplicesque mihi ad genua accidunt sontes, vocem miserabilem fundentes: *Miserere mei, ô pater, obsecro te, si et tu unquam surripuisti aliquid, magistratum gerens, aut in militia contubernalibus obsonans.* Qui nec an viverem sciret, nisi a me jam antea crimine absolutus fuisset.

Bdel. Quod de supplicibus dicis, illius hoc esto mihi monumentum.

Phil. Deinde ingressus, precibusque oneratus, et ira detersa, intus nihil horum quæ promiserim, facere soleo. Sed audio reos omnigenas voces mittentes, ut absolvantur. Age, quæ non ibi blandimenta potest audire judex? alii deflent paupertatem suam, eaque quibus revera premuntur mala cu-

Digitized by Google

Χο. οὐκέτι πρεσβυτῶν ὄχλος
χρήσιμος ἔστ' οὐδ' ἀκαρῆ.
σκωπτόμενοι γὰρ ἂν, ἐν
ταῖσιν ὁδοῖς ἁπάσαις
θαλλοφόροι καλοίμεθ', ἀν-
τωμοσιῶν κελύφη.
ἀλλ' ὦ περὶ τῆς πάσης μέλλων βασιλείας ἀντιλογήσειν
τῆς ἡμετέρας, νυνὶ θαῤῥῶν πᾶσαν γλῶτταν βασάνιζε.

Φιλοκλέων.

καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων περὶ τῆς ἀρχῆς ἀποδείξω
τῆς ἡμετέρας, ὡς οὐδεμιᾶς ἥττων ἐστὶν βασιλείας.
τί γὰρ εὔδαιμόν γ', ἢ μακαριστὸν μᾶλλον νῦν ἐστι δικαστοῦ,
ἢ τρυφερώτερον, ἢ δεινότερον ζῶον, καὶ ταῦτα γέροντος;
ὃν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆς τηροῦσ' ἐπὶ τοῖσι δρυφάκτοις
ἄνδρες μεγάλοι καὶ τετραπήχεις· κἄπειτ' εὐθὺς προσιών τις
ἐμβάλλει μοι τὴν χεῖρ' ἁπαλὴν, τῶν δημοσίων κεκλοφυῖαν·
ἱκετεύουσίν θ' ὑποκύπτοντες, τὴν φωνὴν οἰκτροχοοῦντες·
Οἴκτειρόν μ', ὦ πάτερ, αἰτοῦμαί σ', εἰ καὐτὸς πώποθ' ὑφείλου,
ἀρχὴν ἄρξας, ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγοράζων.—
ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδειν, εἰ μὴ διὰ τὴν προτέραν ἀπόφευξιν.

Βδελυκλέων.

τουτὶ περὶ τῶν ἀντιβολούντων ἔστω τὸ μνημόσυνόν μοι.

Φιλοκλέων.

εἶτ' εἰσελθὼν, ἀντιβοληθεὶς, καὶ τὴν ὀργὴν ἀπομορχθεὶς,
ἔνδον, τούτων, ὧν ἂν φάσκω, πάντων οὐδὲν πεποίηκα·
ἀλλ' ἀκροῶμαι πάσας φωνὰς ἱέντων εἰς ἀπόφευξιν.
φέρ' ἴδω· τί γὰρ οὐκ ἔστιν ἀκοῦσαι θώπευμ' ἐνταῦθα δικαστῇ;
οἱ μέν γ' ἀποκλάονται πενίαν αὐτῶν, καὶ προστιθέασι

Digitized by Google

κακὰ πρὸς τοῖσίν γ' οὖσιν, ἕως ἂν παρισώσῃ τοῖσιν ἐμοῖσιν·
οἱ δὲ λέγουσι, μύθους ἡμῖν· οἱ δ' Αἰσώπου τι γέλοιον·
οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω, καὶ τὸν θυμὸν κατάθωμαι.
κἂν μὴ τούτοις ἀναπειθώμεθα, τά γε παιδάρι' εὐθὺς ἀνέλκει,
τὰς θηλείας, καὶ τοὺς υἱεῖς, τῆς χειρός· ἐγὼ δ' ἀκροῶμαι·
τὰ δὲ συγκύπτονθ' ἅμα βληχᾶται· κἄπειθ' ὁ πατὴρ ὑπὲρ αὐτῶν,
ὥσπερ θεὸν, ἀντιβολεῖ με, τρέμων, τῆς εὐθύνης ἀπολῦσαι·
Εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ, παιδὸς φωνὴν ἐλεήσαις·---
εἰ δ' αὖ τοῖς χοιριδίοις χαίρω, θυγατρὸς φωνῇ με πιθέσθαι.
χ' ἡμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλοπ' ἀνεῖμεν.
ἆρ' οὐ μεγάλη τοῦτ' ἔς' ἀρχὴ, καὶ τοῦ πλούτου καταχήνη;

Βδελυκλέων.

δεύτερον αὖ σου τουτὶ γράφομαι, τὴν τοῦ πλούτου καταχήνην·
καὶ τἀγαθά μοι μέμνησ', ἅ χεις, φάσκων τὴν Ἑλλάδος ἀρχήν.

Φιλοκλέων.

παίδων τοίνυν δοκιμαζομένων αἰδοῖα πάρεστι θεᾶσθαι.
κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει, πρὶν ἂν ἡμῖν
ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν, τὴν καλλίστην ἀπολέξας.
κἂν αὐλητής γε δίκην νικᾷ, ταύτης ἡμῖν ἐπίχειρα
ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσι.
κἂν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ' ἐπίκληρον,
κλάειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν εἰπόντες τῇ διαθήκῃ,
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ.
ἔδομεν ταύτην, ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν· τῶν δ' ἄλλων οὐδεμί' ἀρχή.

Βδελυκλέων.

τουτὶ γάρ τοι σεμνὸν τούτων, ὧν εἴρηκας, μακαρίζω·
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων.

Digitized by Google

mulant aliis, donec æquaverit aliquis sua meis. Alii narrant fabulas nobis: alii Æsopi ridiculum quoddam: alii dicteria dicunt, ut ego rideam et iram deponam. Atque si his non moveamur, liberos extemplo protrahit, filias et filios manu ducens: ego autem ausculto: at illi capita simul demittentes balant: deinde per illos pater, tanquam deum, me obsecrat, tremens, ut se noxa liberem: *Quod si delectaris agni voce, filii vocem miserearis. Si vero porcellis delecter*, orat, *ut filiæ voce movear.* Atque tunc nos intensionem iræ nonnihil relaxamus. Annon magnum hoc est imperium et divitiarum irrisio?

Bdel. Hoc alterum erit, quod literis mandabo, divitiarum tua irrisio. Et commoda mihi memora quæ habes tu, qui Græciæ imperare te dicis.

Phil. Etiam puerorum ætas quum examinatur, nobis licet pubem eorum contemplari; et si Œagrus in judicium veniat, non ante absolvitur, quam nobis ex Nioba orationem recitet, optimam quamque eligens. Si autem tibicen causam vincat, pro latæ sententiæ mercede nobis judicibus e foro egredientibus exodium modum tibia canit capistratus. Et si pater quis moriens filiam, quam unicam relinquat hæredem, testamento det alicui nuptum, nos tabulas et concham sigillo decore impositam longum flere jubemus, et rescindimus, puellamque damus illi, qui precibus nos ad suas partes adduxerit: et ista quum facimus, immunes sumus reddendæ rationis: ceterorum autem magistratuum nullus.

Bdel. Honesta quidem sunt quæ dixti cetera, ob eaque felicem te prædico: at quod rescindis testamentum de unica hærede, injuste facis.

Digitized by Google

Phil. Præterea quum Senatus, itemque populus, in cognitione magni alicujus criminis dubius hæret, decreto facto reos ad judices amandant: deinde Euathlus et magnus ille pulpator clypeique abjector Cleonymus dicunt se non prodituros vos, et pro populari statu pugnaturos. Et apud populum nullius unquam oratoris sententia valuit, nisi dixerit judicum confessus esse dimittendos, quum primum unam litem judicaverint. Ipse autem Cleo, qui clamore omnia domat, solos nos non arrodit; sed observat, manu tenens flabellum, muscasque a nobis abigit. Tu autem patri tuo nihil istorum fecisti unquam. At Theorus, quamvis nequaquam inferior vir sit Euphemo, spongiam habens e pelvi calceos nobis pice illinit. Considera autem a quibus me excludis et arces commodis, quæ tu servitium esse et ministerium te dicebas probaturum.

Bdel. Dic usque ad satietatem: nam utique desistes aliquando ab isto præclaro tuo imperio, et videberis *podex loturam pervincens*.

Phil. Sed quod jucundissimum est omnium istorum, cujus oblitus fueram; quum domum redeo, mercedem habens, atque ingredientem simul omnes amplectuntur propter argentum; et primo gnata me lavat, et pedes ungit, et me prona deosculatur, atque me *pappam* vocitans, interea triobolum lingua sua mihi ex ore expiscatur: deinde uxorcula mihi subblandiens mazam adfert non multum subactam postea mihi adsidens me sic invitat: *Comede istud*; *manduca istud*. His ego delector; nec mihi opus erit, ut ad te respiciam et ad condum promum, quando prandium adponat, maledicens mihi et murmurans, ne

Digitized by Google

Φιλοκλέων.

ἔτι δ' ἡ Βουλὴ, χὠ δῆμος, ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ,
ἐψήφισται τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι·
εἶτ' Εὔαθλος, χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλὴς,
οὐχὶ προδώσειν ὑμᾶς φασὶν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι.
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μὴ
εἴπῃ τὰ δικαστήρι' ἀφεῖναι πρώτιστα μίαν δικάσαντας·
αὐτὸς δ' ὁ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ περιτρώγει.
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων, καὶ τὰς μυίας ἀπαμύνει.
σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων τὸν σαυτοῦ πώποτ' ἔδρασας.
ἀλλὰ Θέωρος, καίτοι 'στὶν ἀνὴρ Εὐφημίου οὐδὲν ἐλάττων,
τὸν σπόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδι' ἡμῶν περικωνεῖ.
σκέψαι δ' ἀπὸ τῶν ἀγαθῶν οἵων ἀποκλείεις καὶ κατερύκεις,
ἣν δουλείαν οὖσαν ἔφασκες χὐπηρεσίαν ἀποδείξειν.

Βδελυκλέων.

ἔμπλησο λέγων· πάντως γάρ τοι παύσει ποτὲ, κἀναφανήσει
πρωκτὸς λουτροῦ περιγιγνόμενος, τῆς ἀρχῆς τῆς περισέμνου.

Φιλοκλέων.

ὃ δέ γ' ἥδιστον τούτων ἐστὶν πάντων, οὗ 'γὼ 'πιλελήσμην·
ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων, κἄπειθ' ἥκονθ' ἅμα πάντες
ἀσπάζωνται διὰ τἀργύριον· καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
ἀπονίζῃ, καὶ τὼ πόδ' ἀλείφῃ, καὶ προσκύψασα φιλήσῃ,
καὶ παππάζουσ' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλαμᾶται·
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦσαν φυσὴν μᾶζαν προσενέγκῃ,
κἄπειτα καθεζομένη παρ' ἐμοὶ προσαναγκάζῃ· Φάγε τουτί.
Ἔντραγε τουτί.—τούτοισιν ἐγὼ γάνυμαι, καὶ μή με δεήσει,
εἰς σὲ βλέψαι, καὶ τὸν ταμίαν, ὁπότ' ἄριστον παραθήσει,
καταρασάμενος, καὶ τονθορύσας, ἄλλην μή μοι ταχὺ μάξῃ.

Digitized by Google

τάδε κέκτημαι, πρόβλημα κακῶν, σκευὴν βελέων ἀλεωρήν.
κᾆν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν, τὸν ὄνον τόνδ' ἐσκεκόμισμαι
οἴνου μεστόν· κᾆτ' ἐγχέομαι κλίνας· οὗτος δὲ κεχηνὼς
βρωμησάμενος τοῦ σοῦ δίνου μέγα καὶ στράτιον κατέπαρδεν.
ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω,
καὶ τῆς τοῦ Διὸς οὐδὲν ἐλάττω,
ὅστις ἀκούω ταῦθ', ἅπερ ὁ Ζεύς;
ἢν γοῦν ἡμεῖς θορυβήσωμεν,
πᾶς τις φησὶν τῶν παριόντων·
Οἷον βροντᾷ τὸ δικαστήριον,
ὦ Ζεῦ βασιλεῦ.--- κᾆν ἀστράψω,
ποππύζουσιν, κἀγκεχόδασί με
οἱ πλουτοῦντες καὶ πάνυ σεμνοί.
καὶ σὺ δέδοικάς με μάλιστ' αὐτός·
νὴ τὴν Δήμητρα, δέδοικας· ἐγὼ δ'
ἀπολοίμην, εἴ σε δέδοικα.

Χορός.

οὐπώποθ' οὕτω καθαρῶς
οὐδενὸς ἠκούσαμεν, οὐ-
δὲ ξυνετῶς λέγοντος.

Φιλοκλέων.

οὐκ, ἀλλ' ἐρήμας ᾤεθ' οὗτος ῥᾳδίως τρυγήσειν.
καλῶς γὰρ ᾔδειν, ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι.

Χορός.

ὡς δὲ πάντ' ἐπελήλυθε,
κοὐδὲν παρῆλθεν, ὥστ' ἔγωγ'
ηὐξανόμην ἀκούων·
κᾆν Μακάρων δικάζειν

mox aliam mihi pinsat offam. Hæc possideo, propugnaculum malorum, munimentumque telis arcendis. Tum si mihi vinum sitienti non infuderis, *asinum* hunc adtuli vino plenum: deinde pandus ipse memet ingurgito: ille autem hians rudit, et contra tuum *turbinem* grande et horrendum pedit. Annon magnum imperium obtineo, nec inferius Jovis regno? qui eadem audio de me dici, quæ Jupiter de se. Nam si nos tumultuemur, quilibet prætereuntium autumat: *Quam vehementer tonat forum judiciale, ô supreme Jupiter!* Et quando fulmino, poppysmate me adorant, et cacant præ metu divites vel maxime superbi. Et tu me in primis times ipse, times, inquam, ita me Ceres amet; ego vero peream, si te timeo.

Chor. Nunquam tam accurate quemquam audivimus, neque tam prudenter verba facere.

Phil. Non: verum ille desertas vineas sperabat se vindemiaturum; probe enim norat me hac arte plurimum valere.

Chor. Ut autem omnia persecutus est, et nihil præteriit, adeo ut extollerer quidem auscultans, et jus dicere in Beatorum

Digitized by Google

insulis ipse mihi viderer, dulcedine ejus verborum perfusus.

Phil. Ut iste jam pandiculatur, et non est apud se! Efficiam certe, ut tu scuticas præ oculis habeas hodie.

Chor. Oportet autem te omnigenos nectere dolos, ut elabaris: difficile enim iram meam mollire, si quis a me non dicat. Proinde tuum est quærere molam bonam recensque cæsam, si nihil tale dixeris, quod meam iracundiam frendere possiet.

Bdel. Difficilis equidem est labor, cui adhibendum acrius majusque ingenium, quam Comicorum sit, morbum sanare civitati ex longo tempore ingenitum. Sed, ô pater noster Saturno gnate—

Phil. Desine patrem commemorare. Nisi enim cito ostenderis me servire, non est, ut mortem effugias, etiamsi oporteat me extis abstinere.

Bdel. Ausculta modo, mi patercule, paulisper exporrecta fronte; atque primo quidem computa levi negotio, non calculis, sed digitis, tributa universa, quæ ab urbibus nobis conferuntur: præterea vectigalia seorsum, et multas illas centesimas, prytanea, metella, fora, portus, mercedes, sectiones. Istorum redituum summa est circiter bis mille talenta. Hinc jam pone mercedem annuam judicibus, qui sunt sex mille; non enim plu-

Digitized by Google

αὐτὸς ἔδοξα νήσοις,
ἡδόμενος λέγοντι.

Φιλοκλέων.

ὥσθ' οὗτος ἤδη σκορδινᾶται, κᾆστιν οὐκ ἐν αὑτοῦ.
ἦ μὴν ἐγώ σε τήμερον σκύτη βλέπειν ποιήσω.

Χορός.

δεῖ δέ σε παντοίας πλέκειν
εἰς ἀπόφευξιν παλάμας.
τὴν γὰρ ἐμὴν ὀργὴν πεπά-
ναι χαλεπὸν μὲν πρὸς ἐμοῦ λέγοντι.
πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι, καὶ νεόκοπτον,
ἢν μή τι λέγῃς, ἥ τις δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.

Βδελυκλέων.

χαλεπὸν μὲν, καὶ δεινῆς γνώμης, καὶ μείζονος, ἢ 'πὶ τρυγῳδοῖς,
ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν.
ἀλλ', ὦ πάτερ ἡμέτερε Κρονίδη ---

Φιλοκλέων.

παῦσαι, καὶ μὴ πατέριζε.
εἰ μὴ γὰρ, ὅπως δουλεύω 'γὼ, τουτὶ τάχεως με διδάξεις,
οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήξει, κἂν χρῇ σπλάγχνων μ' ἀπέχεσθαι.

Βδελυκλέων.

ἀκρόασαι νῦν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον·
καὶ πρῶτον μὲν λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρὸς,
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων ξυλλήβδην τὸν προσιόντα·
κᾆξω τούτου τὰ τέλη χωρὶς, καὶ τὰς πολλὰς ἑκατοστὰς,
πρυτανεῖα, μέταλλ', ἀγορὰς, λιμένας, μισθοὺς, καὶ δημιόπρατα.
τούτων πλήρωμα, τάλαντ' ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.
ἀπὸ τούτων νυν μισθὸν κατάθες τοῖσι δικασταῖς ἐνιαυτοῦ,

ἐξ χιλιάσιν, κοὔπω πλείους ἐν τῇ χώρᾳ κατένασθε,
γίγνεται ὑμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα.

Φιλοκλέων.

οὐδ' ἡ δεκάτη τῶν προσιόντων ἡμῖν ἄρ' ἐγίγνεθ' ὁ μισθός.

Βδελυκλέων.

μὰ Δί' ὠ μέντοι· καὶ ποῖ τρέπεται δὴ 'πειτα τὰ χρήματα τἄλλα;

Φιλοκλέων.

εἰς τούτους τοὺς – – – Οὐχὶ προδώσω τὸν Ἀθηναίων κολοσυρτὸν,
ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους αἰεί.

Βδελυκλέων.

σὺ γὰρ, ὦ πάτερ, αὐτοὺς
ἄρχειν αἱρεῖ σαυτοῦ, τούτοις τοῖς ῥηματίοις περιπεφθείς.
κᾆθ' οὗτοι μὲν δωροδοκοῦσιν κατὰ πεντήκοντα τάλαντα
ἀπὸ τῶν πόλεων, ἐπαπειλοῦντες τοιαυτὶ, κἀναφοβοῦντες·
Δώσετε τὸν φόρον, ἢ βροντήσας τὴν πόλιν ὑμῶν ἀνατρέψω.—
σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς τοὺς ἀργελόφους περιτρώγων.
οἱ δὲ ξύμμαχοι, ὡς ᾔσθοντό γε τὸν μὲν σύρφακα τὸν ἄλλον
ἐκ κηθαρίου λαγαρυζόμενον, καὶ τραγαλίζοντα τὸ μηδὲν,
σὲ μὲν ἡγοῦνται Κόννου ψῆφον· τούτοισι δὲ δωροδοκοῦσιν
ὕρχας, οἶνον, δάπιδας, τυρὸν, μέλι, σήσαμα, προσκεφάλαια,
φιάλας, χλανίδας, στεφάνους, ὅρμους, ἐκπώματα, πλουθυγίειαν.
σὺ δέ γ' ὧν ἄρχεις, πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ' ὑγρᾷ
πιτυλεύσας,
οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσι.

Φιλοκλέων.

μὰ Δί', ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς τρεῖς ἄγλιθας μετέπεμψα,
ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων ἀποκναίεις.

Βδελυκλέων.

οὐ γὰρ μεγάλη δουλεί' ἐστὶν, τούτους μὲν ἅπαντας ἐν ἀρχαῖς

Digitized by Google

res in hac urbe habitatis: cedunt itaque vobis centum et quinquaginta talenta.

Phil. Ne quidem decima pars ergo nobis in mercedem cedit.

Bdel. Non hercle. Sed quorsum abit reliqua pecunia?

Phil. Ad eos qui semper hæc verba in ore habent: *Nunquam prodam Atheniensium colluviem; verum pro Populi libertate pugnabo semper.*

Bdel. Tu enim, ô pater, ipsos tibi adsciscis dominos, speciosis illis dictis deceptus. Deinde isti quinquagenorum talentûm munera ab urbibus extorquent, hujusmodi minis terrorem incutientes: *Aut tributum dabitis, aut ego intonans urbem vestram evertam.* Tu vero contentus es, si imperi tui rejectanea rodas. Socii autem nostri ut senserunt reliquam turbam e phimo sorbere et comedere res nihili, te quidem habent pro Conni calculo: istis autem adferunt munera, salsamentorum orcas, vinum, tapetes, caseum, mel, sesama, pulvinaria, phialas, lænas, coronas, torques, pocula, opes cum sanitate. Quibus autem tu imperas post multos terra marique exantlatos labores, eorum tibi nemo ne caput quidem allii ad condiendos pisciculos dat.

Phil. Non hercle: sed ipse tres allii bulbos ab Eucharida qui peteret misi. At odiosus es, istam servitutem omittens, quam mihi demonstraturus eras.

Bdel. Nonne vero servitus magna est, quum omnes isti

Digitized by Google

magistratus gerentes, et ipsi, et eorum assentores, mercedes accipiunt: tu vero, si quis tibi tres obolos det, contentus es, quos ipse remigando et terrestribus præliis depugnando, et urbes obsidendo quæsieras multo labore? Et præterea, quod me in primis excruciat, alieno jussu ad forum ire cogeris, quando domum tuam ingressus impudicus adolescentulus, Chæreæ filius, sic divaricatis cruribus stans, lascivo et ad mollitiem composito gestu, tibi edicit, ut summo mane et tempestive judicaturus eas, quia quicunque vestrûm post datum signum venerit, triobolum non accipiet. Ille vero qui reipublicæ dat operam, pro patrocinio drachmam accipit, etiamsi ad concionem serius venerit: deinde alium quemdam eorum, quos in magistratu collegas habet, participem facit, si quis reorum aliquid dederit: atque ita ambo de composito negotium conficere student: deinde, velut quum serra rursum prorsum ducitur, alter trahit, alter remittit: tu vero hietans quæstorem respicis, et quæ gerantur non animadvertis.

PHIL. Hæccine mihi faciunt! hei mihi, quid dicis? ut mihi cor profundum moves, facisque ut magis advertam animum, nec scio quomodo me adfectum reddas.

BDEL. Specta igitur, ut, quum tibi et universis ditescere in proclivi sit, involutus sis nescio quibus angustiis, ab istis, qui populo se studere simulant semper: qui urbibus plurimis imperans inde a Ponto ad Sardiniam usque, non habes quo fruaris, præter istud quod fers mercedis minimum: idque ex lanæ flocculo instillant identidem tibi paulatim, ad sustentandam vitam, tanquam pultem. Pauperem enim te esse volunt, idque qua gratia velint, dicam tibi; nempe ut cognoscas tuum nutricium, et quum iste te instigabit et tanquam canem immittet in quempiam inimicorum, ferociter tu illis insultes. Si enim vellent victum præbere populo, perfacile id esset. Sunt enim urbes mille, quæ tributum nobis conferunt: harum si unicuique injungeretur, ut viginti viros aleret, viginti millia civium viverent in omnibus deliciis, abundantes carne leporina, coronis

Digitized by Google

αὐτὸς τ' εἶναι, καὶ τοὺς κόλακας τοὺς τούτων, μισθοφοροῦντας;
σοὶ δ' ἤν τις γε διδῷ τρεῖς ὀβολοὺς, ἀγαπᾷς· οὓς αὐτὸς ἐλαύνων,
καὶ πεζομαχῶν, καὶ πολιορκῶν ἐκτήσω, πολλὰ πονήσας.
καὶ πρὸς τούτοις ἐπιταττόμενος φοιτᾷς, ὃ μάλιστά μ' ἀπάγχει.
ὅταν εἰσελθὸν μειράκιόν σοι κατάπυγον, Χαιρέου υἱὸς,
ὡδὶ διαβὰς, διακινηθεὶς τῷ σώματι, καὶ τρυφερανθεὶς,
ἥκειν εἴπῃ πρῲ, κἀν ὥρᾳ, δικάσονθ'· ὡς ὅστις ἂν ὑμῶν
ὕστερος ἔλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ κομιεῖται.
αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν, δραχμὴν, κἂν ὕστερος ἔλθῃ·
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ,
ἤν τις τι διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε,
ἐσπουδάκατον· κᾆθ', ὡς πρίων, ὁ μὲν ἕλκει, ὁ δ' ἀντενέδωκε.
σὺ δὲ χάσκάζεις τὸν Κωλακρέτην· τὸ δὲ πραττόμενόν σε λέληθε.

Φιλοκλέων.

ταυτί με ποιοῦσ'; οἴμοι, τί λέγεις; ὥς μου τὸν θῖνα ταράττεις,
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον· κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς.

Βδελυκλέων.

σκέψαι τοίνυν, ὡς, ἐξόν σοι πλουτεῖν, καὶ τοῖσιν ἅπασιν,
ὑπὸ τῶν αἰεὶ δημιζόντων οὐκ οἶδ' ὅποι ἐγκεκύκλησαι·
ὅστις πόλεων ἄρχων πλείστων, ἀπὸ τοῦ Πόντου μέχρι Σαρδοῦς,
οὐκ ἀπολαύεις, πλὴν τοῦθ', ὃ φέρεις, ἀκαρές· καὶ τοῦτ' ἐρίῳ σοι
ἐνστάζουσιν κατὰ μικρὸν ἀεὶ, τοῦ ζῆν ἕνεχ', ὥσπερ ἄλευρον.
βούλονται γάρ σε πένητ' εἶναι· καὶ τοῦθ', ὧν οὕνεκ', ἐρῶ σοι·
ἵνα γιγνώσκῃς τὸν τιθασευτήν· κᾆθ' ὅταν οὗτός γ' ἐπισίζῃ,
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι.
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταττεν ἑκάστῃ,

Digitized by Google

δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἂν πᾶσι λαγώοις,
καὶ στεφάνοισιν παντοδαποῖσιν, καὶ πύῳ, καὶ πυριάτῃ,
ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τε 'ν Μαραθῶνι τροπαίου.
νῦν δ', ὥσπερ ἐλαιολόγοι, χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.

Φιλοκλέων.

οἴμοι· τί ποθ', ὥσπερ νάρκη, μου κατὰ τῆς χειρὸς καταχεῖται,
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν; ἀλλ' ἤδη μαλθακός εἰμι.

Βδελυκλέων.

ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοὶ, τὴν Εὔβοιαν διδόασιν
ὑμῖν, καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους
ποριεῖν· ἔδοσαν δ' οὐπώποτέ σοι, πλὴν πρώην, πέντε μεδίμνους
(καὶ ταῦτα μόλις, ξενίας φεύγων, ἔλαβες κατὰ χοίνικα) κριθῶν.
ὧν οὕνεκ' ἐγώ σ' ἀπέκλειον ἀεὶ,
βόσκειν ἐθέλων, καὶ μὴ τούτους
ἐγχάσκειν σοι στομφάζοντας.
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν,
ὅ τι βούλει, σοι,
πλὴν Κωλακρέτου γάλα πίνειν.

Χορός.

ἦπου σοφὸς ἦν, ὅστις ἔφασκεν· Πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς,
οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ δεδόκησαι·
ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας, τοὺς σκίπωνας καταβάλλω.
ἀλλ', ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς ξυνθιασῶτα,
πιθοῦ, πιθοῦ λόγοισι, μηδ' ἄφρων γένῃ,
μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ.
εἴθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς
εἶναί τις, ὅστις δὴ τοιαῦτ' ἐνουθέτει.
νῦν δ' αὖ παρών τις ἐμφανής σοι τῶν θεῶν

Digitized by Google

omnigenis, colostra et decocto lacte, illisque perfruentes quibus digna est patria nostra, erectumque Marathone tropæum: nunc autem, tanquam olivantes, illum comitamini, qui mercedem distribuit.

PHIL. Hei mihi! quid ita quasi torpore manus mea perfunditur, et gladium tenere non possum, sed jam mollesco?

BDEL. At si quando ipsi timeant, Eubœam dant vobis, et frumenti promittunt quinquagenos modios se præbituros; nihil autem unquam dederunt, præter quinque modios nuper hordei; et hos vix, peregrinitatis postulatus, accepisti per chœnices singulatim admensos. Ideo inclusum semper ego te habui, alere te cupiens, ne isti irrideant te acerbe. Et nunc certum est præbere tibi quidquid voles; tantum quæstoris lac bibere haud te sinam.

CHOR. Utique sapiens erat, qui dixit: *Priusquam amborum orationem audiveris, ne judica.* Nam tu mihi nunc longe vincere videris. Itaque jam ira laxata scipiones abjicio. Sed, ô æqualis et sodalis noster, obtempera, orationi obtempera, ne imprudentem te præbe, neque rigidum infractumque. Utinam mihi adfinis aut cognatus fuisset aliquis, qui me talia monuisset! Tibi autem nunc deorum aliquis manifeste præsens adjutor est in hac

Digitized by Google

re, et palam beneficia in te confert, quæ tu quoque præsens accipe.

Bdel. Equidem alam ipsum, præbens quæcunque seni conveniunt; alicam lingendam, lænam mollem, lodicem, meretricem, quæ penem ei fricet lumbosque. Sed quod tacet, nihilque mutit, id non potest mihi placere.

Chor. Quid sibi agendum sit, ipse nunc secum reputat: jam enim agnoscit, quantum insaniebat modo; criminique sibimet ipse vertit, quæcunque tu illum hortatus es, se iis obsecutum non fuisse. Nunc igitur forte tuis dictis paret, et sapit, mutatis in posterum moribus, tibique morem gerens.

Phil. Hei mihi!

Bdel. Heus tu, quid mihi clamas?

Phil. Ne mihi quicquam istorum pollicere. Illa amo: illic siem, ubi præco dicit: *Quis suffragium nondum tulit? surgat.* Atque adstem urnis judiciariis, ultimus eorum qui calculum in phimum demittunt. Propera, anima mea. Ubi mea est anima? sine me transire, ô caliginosa. Hercules ne sirit, ut nunc ego inter judices sedens Cleonem furti reum deprehendam!

Digitized by Google

ξυλλαμβάνει τοῦ πράγματος,
καὶ δῆλος εὖ ποιῶν· σὺ δ' αὖ παρὼν δέχου.
Βδ. καὶ μὴν θρέψω γ' αὐτὸν, παρέχων
ὅσα πρεσβύτῃ ξύμφορα· χόνδρον
λείχειν, χλαῖναν μαλακὴν, σισύραν,
πόρνην, ἥ τις τὸ πέος τρίψει,
καὶ τὴν ὀσφύν. ἀλλ' ὅτι σιγᾷ,
κοὐδὲν γρύζει,
τοῦτ' οὐ δύναταί με προσέσθαι.
Χο. νενουθέτηκεν αὐτὸν ἐς τὰ πράγματα.
οἷα γὰρ ἐμαίνετ' ἀρτίως, ἔγνωκε νῦν·
λογίζεταί τ' ἐκεῖνα πάνθ' ἁμαρτίας,
ἃ, σοῦ παρακελεύοντος, οὐκ ἐπείθετο.
νῦν οὖν ἴσως τοῖς σοῖς λόγοισι πείθεται,
καὶ φρονεῖ μέντοι, μεθιστὰς ἐς τολοιπὸν τὸν τρόπον,
πιθόμενός τε σοί γ'.
Φι. ἰώ μοι μοι.
Βδ. οὗτος, τί μοι βοᾷς;
Φι. μή μοι τούτων μηδὲν ὑπισχνοῦ.
ΚΕΙΝΩΝ ΕΡΑΜΑΙ· ΚΕΙΘΙ ΓΕΝΟΙΜΑΝ,
ἵν' ὁ κήρυξ φησί· Τίς ἀψήφισ-
τος; ἀνιστάσθω.---
κἀπισταίην ἐπὶ τοῖς κημοῖς,
ψηφιζομένων ὁ τελευταῖος.
σπεῦδ', ὦ ψυχή. ποῦ μοι ψυχή;
ΠΑΡΕΣ Ω ΣΚΙΕΡΑ. μὰ τὸν Ἡρακλέα,
μὴ νῦν ἔτ' ἐγὼ 'ν τοῖσι δικασταῖς
κλέπτοντα Κλέωνα λάβοιμι.

Digitized by Google

Βδ. ἴθ', ὦ πάτερ, πρὸς τῶν θεῶν, ἐμοὶ πιθοῦ.
Φι. τί πείθομαί σοι; λέγ' ὅ τι βούλει, πλὴν ἑνός.
Βδ. ποίου; φέρ' ἴδω.
Φι. τοῦ μὴ δικάζειν. τοῦτο δὲ
ᾍδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.
Βδ. σὺ δ' οὖν, ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
ἐκεῖσε μὲν μηκέτι βάδιζ', ἀλλ' ἐνθάδε,
αὐτοῦ μένων, δίκαζε τοῖσιν οἰκέταις.
Φι. περὶ τοῦ; τί ληρεῖς;
Βδ. ταῦθ' ἅπερ ἐκεῖ πράττεται.
ὅτι τὴν θύραν ἀνέῳξεν ἡ σηκὶς λάθρα,
ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
πάντως γε κἀκεῖ ταῦτ' ἔδρας ἑκάστοτε.
καὶ ταῦτα μέν νυν εὐλόγως, ἢν ἐξέχῃ
εἵλη κατ' ὄρθρον, ἡλιάσει πρὸς ἥλιον·
ἐὰν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος,
ὕοντος, εἴσει· κἂν ἔγρῃ μεσημβρινὸς,
οὐδείς σ' ἀποκλείσει Θεσμοθέτης τῇ κιγκλίδι.
Φι. τουτί μ' ἀρέσκει.
Βδ. πρὸς δὲ τούτοις, ἢν δίκην
λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς,
δάκνων σεαυτὸν, καὶ τὸν ἀπολογούμενον.
Φι. πῶς οὖν διαγιγνώσκειν καλῶς δυνήσομαι,
ὥσπερ πρότερον, τὰ πράγματ', ἔτι μασώμενος;
Βδ. πολλῷ γ' ἄμεινον· καὶ λέγεται γὰρ τουτογὶ,
ὡς οἱ δικασταὶ, ψευδομένων τῶν μαρτύρων,
μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμασώμενοι.
Φι. ἀνά τοί με πείθεις. ἀλλ' ἐκεῖν' οὔπω λέγεις,

Digitized by Google

Bdel. Per deos obsecro, mi pater, age obtempera mihi.

Phil. Quid obtemperem tibi? dic quidquid voles, præter unum.

Bdel. Quodnam id est? fac sciam.

Phil. Ut a judiciis abstineam: illam enim consuetudinem Orcus adimet mihi prius, quam ego tibi obsequar.

Bdel. Tu itaque, quandoquidem istud libenter facis, illuc quidem ne amplius eas; sed hic manens, jus dicito familiaribus.

Phil. Qua de re? quid nugaris?

Bdel. Eadem fac, quæ illic fiunt. Quia ostium clam aperuerit famula, hanc unica multabis multa, quod quidem illic utique factitabas. Et ista in posterum facies, ut rationi consentaneum est: quum ortus fuerit calor solis mane, judicium exercebis in sole: si vero ningat, aut pluat, ante focum sedens, causas cognosces: et licet meridie surgas, nullus te cancellis excludet Thesmotheta.

Phil. Satis hoc mihi placet.

Bdel. Præterea si quis causam nimis longa oratione dicat, non exspectabis esuriens, te ipsum crucians simul et oratorem.

Phil. Quomodo ergo potero, ut antehac, causam recte cognoscere, si comedam interim?

Bdel. Multo quidem melius: etenim hoc vulgo dicitur, *Judices, mentientibus testibus, vix rem cognovisse ruminando.*

Phil. Utique mihi persuades. Sed illud nondum dicis, mercedem unde sim accepturus.

Digitized by Google

BDEL. A me.

PHIL. Bene est istud, quod seorsum, non cum alio accipiam. Nam turpissime mecum egit nuper Lysistratus ille scurra: quum enim accepisset drachmam mecum, venit in forum piscarium et eam ærea moneta permutavit; deinde mihi imposuit in manum tres squamas mugilis, quas ego in os condidi: nam obolos me rebar accepisse: deinde offensus odore eas exspui, illumque in jus trahere volui.

BDEL. Is vero quid ad hæc dixit?

PHIL. Rogas? Galli me aiebat stomachum habere; *Itaque facile concoques pecuniam*, inquit.

BDEL. Vides ergo quantum tibi inde accedet lucri.

PHIL. Non parum sane. Sed quod facturus es, face.

BDEL. Manta modo: ego autem mox adero ista ferens.

PHIL. Vide sis, ut oracula perficiantur. Audiveram enim fore ut Athenienses aliquando singuli jus dicant in suis ædibus, et in vestibulis ædificet sibi unusquisque forum parvulum oppido, instar Hecatæ sacelli, ubique ante fores.

BDEL. En: quid jam dices? nam omnia fero, quæcunque dixi, et multo etiam plura. Etenim matula, si micturius, ista juxta te pendebit prope a paxillo.

Digitized by Google

τὸν μισθὸν ὁπόθεν λήψομαι.

Βδ. παρ' ἐμοῦ.

Φι. καλῶς,

ὁτιὴ κατ' ἐμαυτὸν, κοὐ μεθ' ἑτέρου λήψομαι.
αἴσχιστα γάρ τοι μ' εἰργάσατο Λυσίστρατος
ὁ σκωπτόλης. δραχμὴν μετ' ἐμοῦ πρώην λαβὼν,
ἐλθὼν διεκερμάτιζεν ἐν τοῖς ἰχθύσι·
κᾆπειτ' ἐπέθηκε τρεῖς λοπίδας μοι κεστρέων·
κἀγὼ 'νέκαψ'· ὀβολοὺς γὰρ ᾠόμην λαβεῖν·
κᾆτα βδελυχθεὶς, ὀσφρόμενος ἐξέπτυσα·
κᾆθ' εἷλκον αὐτόν.

Βδ. ὁ δὲ, τί πρὸς ταῦτ' εἶφ';

Φι. ὅ τι;

ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν·
Ταχὺ γοῦν καθέψεις ἀργύριον, ἦδ' ὃς λέγων.

Βδ. ὁρᾷς ὅσονπερ δῆτα τοῦτο κερδανεῖς.

Φι. οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλεις ποίει.

Βδ. ἀνάμενε νῦν· ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.

Φι. ὅρα τὸ χρῆμα· τὰ λόγι' ὡς περαίνεται.
ἠκηκόη γὰρ, ὡς Ἀθηναῖοί ποτε
δικάσοιεν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας,
κἀν τοῖς προθύροις ἀνοικοδομήσοι πᾶς ἀνὴρ
αὑτῷ δικαστηρίδιον μικρὸν πάνυ,
ὥσπερ Ἑκάταιον, πανταχοῦ πρὸ τῶν θυρῶν.

Βδ. ἰδοὺ, τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω,
ὅσαπέρ γ' ἔφασκον, κἄτι πολλῷ πλείονα.
ἀμὶς γὰρ, ἢν οὐρητιάσῃς αὑτηὶ
παρὰ σοὶ κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.

Digitized by Google

Φι. σοφόν γε τουτὶ, καὶ γέροντι πρόσφορον
ἐξεῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.
Βδ. καὶ πῦρ γε τουτὶ, καὶ προσέστηκεν φακῆ,
ῥοφεῖν ἐὰν δέῃ τι.
Φι. τοῦτ' αὖ δεξιόν.
κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
ἀτὰρ τί τὸν ὄρνιν ὡς ἔμ' ἐξηνέγκατε;
Βδ. ἵνα γ', ἢν καθεύδῃς, ἀπολογουμένου τινὸς,
ᾄδων ἄνωθεν ἐξεγείρῃ σ' αὐτοσί.
Φι. ἓν ἔτι ποθῶ· τὰ δ' ἄλλ' ἀρέσκει μοι.
Βδ. τὸ τί;
Φι. θἠρῷον εἴ πως ἐκκομίσειας τοῦ Λύκου.
Βδ. πάρεστι τουτί· καὐτὸς ὡ'ναξ οὑτοσί.
Φι. ὦ δέσποθ' ἥρως, ὡς χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν·
οἷός περ ἡμῖν φαίνεται Κλεώνυμος.
Σω. οὔκουν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα.
Βδ. εἰ θᾶττον ἐκαθίζου σὺ, θᾶττον ἂν δίκην
ἐκάλουν.
Φι. κάλει νῦν, ὡς κάθημαι 'γὼ πάλαι.
Βδ. φέρε νυν, τίν' αὐτῷ πρῶτον εἰσαγάγω δίκην;
τί τις κακὸν δέδρακε τῶν ἐν τῇ οἰκίᾳ;
ἡ Θρᾶττα προσκαύσασα πρώην τὴν χύτραν---
Φι. ἐπίσχες οὗτος· ὡς ὀλίγου μ' ἀπώλεσας.
ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν κατεφαίνετο.
Βδ. μὰ τὸν Δί' οὐ πάρεστιν· ἀλλ' ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ' ἔνδοθεν.

Digitized by Google

Phil. Scitum certe istud, et seni utile omnino invenisti remedium stranguriæ.

Bdel. En et ignis, cui lens adposita, sorbere si quid necesse fuerit.

Phil. Istud etiam scitum est. Nam si vel febricitem, mercedem tamen accipiam. Istic enim manens lentem sorbebo. Sed cur hunc ad me extulistis gallum?

Bdel. Ut, si dormias, dum aliquis causam dicit, iste cantans desuper te excitet.

Phil. Unum adhuc desidero: cetera autem placent mihi.

Bdel. Quidnam?

Phil. Simulacrum Lyci herois si qua ratione efferas.

Bdel. Ecce ob oculos adest, et ipsus ille est heros.

Phil. O heros domine, quam terribilis es aspectu, qualis Cleonymus nobis videtur!

Sos. Ergo nec ipse, tametsi heros est, arma habet.

Bdel. Si ocius sederes tu, ocius etiam litem ego citarem.

Phil. Cita modo: nam sedeo ego dudum.

Bdel. Agedum, quamnam ei primum introducam litem? fecitne quid mali quispiam e familia? Thratta ancilla, quæ adussit nuper ollam—

Phil. Eho tu reprime te; nam parum abest, quin me perdideris. Num sine cancellis litem citaturus es, qui inter res sacras primi nobis apparere solent?

Bdel. Edepol non adsunt, sed curram, et ipse actutum efferam foras. Quid hoc rei est? Quam multum valet, quibus adsuescas locis!

Digitized by Google

XANTH. Abi in malam rem. Istiusnemodi nos canem alere!

BDEL. Quid rei est, sodes?

XANTH. Nonne enim Labes iste canis in culinam modo irruens abreptum Siculum caseum comedit?

BDEL. Hæc itaque noxa patri prima introducenda est: tu vero ades et accusa.

XANTH. Non ego hercle: verum alter canis ait se accusaturum, siquis introducat actionem.

BDEL. Agedum adduc eos huc.

XANTH. Ita sane facere oportet.

PHIL. Hocce quid est?

BDEL. Suile vimineum Laris.

PHIL. Itane manu sacrilega ablatum adfers?

BDEL. Non: sed a Lare facto initio aliquem conteram.

PHIL. Sed propera introducere litem: nam ego multam intuor.

BDEL. Agedum efferam nunc tabulas et stylos.

PHIL. Hei mihi! obtundes me enecabisque tempus terendo mihi sat erat ungue sulcos ducere in tabula.

BDEL. En accipe.

PHIL. Cita nunc.

BDEL. Jam in eo sum.

PHIL. Quis iste est primus?

BDEL. Perii! ut piget oblitum me esse urnas judiciarias efferre!

Digitized by Google

τί ποτε τὸ χρῆμ'; ὡς δεινὸν ἡ φιλοχωρία.
Ξα. βάλλ' ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.
Βδ. τί δ' ἐστὶν ἐτεόν;
Ξα. οὐ γὰρ ὁ Λάβης ἀρτίως
ὁ κύων παρᾴξας εἰς τὸν ἰπνὸν ἐξαρπάσας
τροφαλίδα τυροῦ Σικελικὴν κατεδήδοκε;
Βδ. τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰσακτέον μοι· σὺ δὲ κατηγόρει παρών.
Ξα. μὰ Δί' οὐκ ἔγωγ'· ἀλλ' ἅτερος φησὶν κύων
κατηγορήσειν, ἤν τις εἰσάγῃ γραφήν.
Βδ. ἴθι νυν, ἄγ' αὐτὼ δεῦρο.
Ξα. ταῦτα χρὴ ποιεῖν.
Φι. τουτὶ τί ἐστι;
Βδ. χοιροκομεῖον Ἑστίας.
Φι. εἶθ' ἱεροσυλήσας φέρεις;
Βδ. οὔκ· ἀλλ' ἵνα
ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.
Φι. ἀλλ' εἴσαγ' ἀνύσας· ὡς ἐγὼ τιμᾶν βλέπω.
Βδ. φέρε νυν, ἐνέγκω τὰς σανίδας, καὶ τὰς γραφάς.
Φι. οἴμοι, διατρίψεις, κἀπολεῖς τριψημερῶν·
ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.
Βδ. ἰδού.
Φι. κάλει νῦν.
Βδ. ταῦτα δή.
Φι. τίς οὑτοσὶ
ὁ πρῶτός ἐστιν;
Βδ. ἐς κόρακας· ὡς ἄχθομαι,
ὁτιὴ 'πελαθόμην τοὺς καδίσκους ἐκφέρειν.

Digitized by Google

Φι. οὗτος σύ, ποῖ θεῖς;
Βδ. ἐπὶ καδίσκους.
Φι. μηδαμῶς.
ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.
Βδ. κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν,
ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.
Φι. ἡδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;
Βδ. εὖ γ' ἐκπορίζεις αὐτὰ, κἀπιχωρίως.
ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω,
καὶ μυῤῥίνας, καὶ τὸν λιβανωτὸν ἔνδοθεν,
ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς.
Χο. καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς,
καὶ ταῖς εὐχαῖς, φήμην ἀγαθὴν
λέξομεν ὑμῖν, ὅτι γενναίως
ἐκ τοῦ πολέμου
καὶ τοῦ νείκους ξυνέβητον.
Βδ. εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω.
Χο. ὦ Φοῖβ' Ἄπολλον Πύθι', ἐπ' ἀγαθῇ τύχῃ
τὸ πρᾶγμ', ὃ μηχανᾶται
ἔμπροσθεν οὗτος τῶν θυρῶν,
ἅπασιν ἡμῖν ἁρμόσαι,
ὡς παυσαμένοισι τῶν πλάνων.
Ἰήϊε Παιάν.
Βδελυκλέων.
ὦ δέσποτ' ἄναξ, γεῖτον Ἀγυιεῦ
τοῦ 'μοῦ προθύρου,
δέξαι τελετὴν καινὴν, ὦ 'ναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν·
παῦσόν τ' αὐτοῦ τουτὶ τὸ λίαν στρυφνὸν καὶ πρίνινον ἦθος,

Digitized by Google

PHIL. Heus tu, quorsum curris?

BDEL. Ad quærendas urnas.

PHIL. Nequaquam, ego enim istis cotylis usurus eram.

BDEL. Optime ergo: omnia enim adsunt nobis, quibus opus est, præter clepsydram.

PHIL. Hoc vero quid est? annon clepsydra?

BDEL. Lepide excogitas hæc instrumenta, et more vernaculo. Sed quamprimum aliquis intus efferat ignem et myrtos et thus, ut vota primum faciamus diis.

CHOR. Nos etiam in libaminibus et votis verba bona dicemus vobis, quia ex concertatione et jurgio mutuam generose reconciliastis gratiam.

BDEL. Linguis nunc primum favete.

CHOR. O Phœbe Apollo Pythie, hoc negotium, quod machinatur iste ante fores, da ut prospere nobis omnibus cedat, ut ab erroribus liberatis. Io Pæan!

BDEL. O Rex domine, vicinae Agyieu vestibuli mei, nova hæc accipe sacra, quæ patris mei in gratiam nunc primum comminiscimur, et mitiga hos ejus nimis austeros et rigidos

Digitized by Google

mores, pro defruto pauxillum mellis iracundiæ ejus admiscens, ut jam deinceps fiat hominibus clemens, et reorum magis misereatur, quam accusatorum, illisque orantibus illacrumet, et deposita asperitate, ab iracundia sua demat urticam.

CHOR. Nos simul tecum precamur et accinimus tibi, in novo constituto magistratu, propter ea quæ modo dixisti. Benevoli enim sumus tibi, ex quo sensimus te populum amare, ut nemo eorum, qui nunc sunt te juniores.

BDEL. Siquis Heliææ judicum foris est, ingreditor: nam quumprimum causidici orare inceperint, non intromittemus amplius.

PHIL. Quisnam est iste reus? ut condemnabitur!

XANTH. ut Acc. Audite nunc accusationis libellum. Dicam subscripsit canis Cydathenæensis Labeti Æxonensi, quod solus contra jus et fas comedit caseum Siculum! pœna esto boia ficulnea.

PHIL. Immo mors canina, si semel convictus fuerit.

BDEL. Equidem Labes reus iste adest.

PHIL. O impurus ille! quam furaciter etiam intuetur! ut dentes restringens se decepturum me arbitratur! ubi est accusator Cydathenæensis ille canis?

Digitized by Google

ἀντὶ σιραίου, μέλιτος σμικρὸν τῷ θυμιδίῳ παραμίξας·
ἤδη δ' εἶναι τοῖς ἀνθρώποις
ἤπιον αὐτὸν,
τοὺς φεύγοντάς τ' ἐλεεῖν μᾶλλον
τῶν γραψαμένων,
κἀπιδακρύειν ἀντιβολούντων·
καὶ παυσάμενον τῆς δυσκολίας,
ἀπὸ τῆς ὀργῆς
τὴν ἀκαλήφην ἀφελέσθαι.

Χο. ξυνευχόμεθα, κἀπᾴδομέν σοί γ' ἐν νέαισιν ἀρχαῖς,
ἕνεκά γε τῶν προλελεγμένων.
εὔνοι γάρ ἐσμεν, ἐξότου
τὸν δῆμον ᾐσθόμεσθά σου
φιλοῦντος, ὡς οὐδεὶς ἀνὴρ
τῶν νῦν γε σοῦ νεωτέρων.

Βδ. εἴ τις θύραισιν Ἡλιαστὴς, εἰσίτω·
ὡς, ἡνίκ' ἂν λέγωσιν, οὐκ εἰσφρήσομεν.

Φι. τίς ἄρ' ὁ φεύγων οὗτος; ὅσον ἁλώσεται.

Ξανθίας ὡς κατήγορος.

ἀκούετ' ἤδη τῆς γραφῆς· ἐγράψατο
κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα,
τὸν τυρὸν, ἀδικεῖν, ὅτι μόνος κατήσθιε
τὸν Σικελικόν. τίμημα κλῳὸς σύκινος.

Φι. θάνατος μὲν οὖν κύνειος, ἢν ἅπαξ ἁλῷ.

Βδ. καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα.

Φι. ὢ μιαρὸς οὗτος· ὡς δὲ καὶ κλέπτον βλέπει·
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.
ποῦ δ' ὁ διώκων, ὁ Κυδαθηναιεὺς κύων;

Κυ. αὖ, αὖ.

Digitized by Google

Βδ. πάρεστιν. ἕτερος οὗτος αὖ Λάβης,
ἀγαθός γ' ὑλακτεῖν, καὶ διαλείχειν τὰς χύτρας.

Σωσίας ὡς κήρυξ.

σίγα, κάθιζε, σὺ δ' ἀναβὰς κατηγόρει.

Φι. φέρε νυν, ἅμα τήνδ' ἐγχεάμενος κᾀγὼ ῥοφῶ.

Ξανθίας ὡς κατήγορος.

τῆς μὲν γραφῆς ἠκούσαθ', ἧς ἐγραψάμην,
ἄνδρες δικασταὶ, τουτονί. δεινότατα γὰρ
ἔργων δέδρακε κᾀμὲ, καὶ τὸ ῥυππαπαί.
ἀποδρὰς γὰρ εἰς τὴν γωνίαν, τυρὸν πολὺν
κατεσικέλιζε, κᾀνέπλητ' ἐν τῷ σκότῳ,---

Φι. νὴ τὸν Δί', ἀλλὰ δῆλός ἐστ'· ἔμοιγέ τοι
τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν
ὁ βδελυρὸς οὗτος.

Ξανθίας ὡς κατήγορος.

κοὐ μετέδωκ' αἰτοῦντί μοι.
καί τοι τίς ὑμᾶς εὖ ποιεῖν δυνήσεται,
ἢν μή τι κᾀμοί τις προβάλλῃ τῷ κυνί;

Φι. οὐδὲν μετέδωκεν;

Ξανθίας ὡς κατήγορος.

οὐδὲ τῷ κοινῷ γ' ἐμοί.

Φι. θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.

Βδ. πρὸς τῶν θεῶν, μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἄν γ' ἀκούσῃς ἀμφοτέρων.

Φι. ἀλλ', ὦ 'γαθὲ,
τὸ πρᾶγμα φανερόν ἐστιν. αὐτὸ γὰρ βοᾷ.

Ξανθίας ὡς κατήγορος.

μὴ νῦν ἀφῆτέ γ' αὐτὸν, ὡς ὄντ' αὖ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,

Digitized by Google

CAN. Hau, hau.

BDEL. Alter iste rursus est Labes, bonus latrare et ollas lingere.

SOS. ut PRÆC. Sile, sede: tu vero ascende et accusa.

PHIL. Agedum simul et ego hancce infundam et sorbebo.

XANTH. ut ACC. Audistis quam dicam scripserim huic, ô judices: etenim indignissimum facinus admisit et in me et in navales socios. Nam in angulum se proripiens plurimum caseum desicilissavit, et se implevit in tenebris---

PHIL. Satis hercle facti manifestus est, siquidem mihi pessimum fœtorem casei ructavit in faciem modo impuratus iste.

XANTH. ut ACC. Nec me petentem fecit participem. At vero quis vobis bene facere poterit, nisi quis et mihi cani aliquid projecerit?

PHIL. Nihil impertivit?

XANTH. ut ACC. Ne mihi quidem, qui consors ei sum.

PHIL. Fervidus enim vir est, nec minus ac lens ista.

BDEL. Per deos obsecro, mi pater, ne condemnes, priusquam ambos audiveris.

PHIL. Sed, ô bone, res manifesta est; ipsa enim clamat.

XANTH. ut ACC. Ne ergo dimittite eum, utpote qui multo

Digitized by Google

omnium canum lubentissime solus vorat, qui circumnavigans mortarium, urbium exedit crustam.

Phil. Nec mihi adeo superest, qui rimas obturem urcei.

Xanth. ut Acc. Proinde istum castigate: nunquam enim poterit una domus duos fures alere; ne in vanum frustra latrem ego; sin minus, deinceps non latrabo.

Phil. Hui, hui! quantas ejus commemoravit nequitias! furax omnino ille homo est. Nonne et tibi videtur, galle? næ hercle; adnuit ille quidem. Heus tu Thesmotheta! *ubi* ille est? matulam mihi det.

Sos. ut Thesm. Ipse deme: nam ego testes citabo. Labeti testes adsunto; catinus, pistillum, radula, craticula, olla, ceteraque adusta vasa. Sed meiisne tu adhuc, nec sedes?

Phil. Nondum: sed istum arbitror cacaturum hodie.

Bdel. Annon desines rigidus esse et difficilis, idque erga reos, semperque eis mordicus inhærebis? Ascende tu, Labes, et crimen purga. Quid taces? eloquere.

Phil. Sed iste nihil habere videtur, quod dicat.

Bdel. Habet quidem: sed idem ei puto accidisse, quod olim accidit reo Thucydidi: buccas stupore percussus obmu-

Digitized by Google

ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ,
ἐκ τῶν πόλεων τὸ σκίῤῥον ἐξεδήδοκεν.

Φι. ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι.

Ξανθίας ὡς κατήγορος.

πρὸς ταῦτα τοῦτον κολάσατ'· οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύο·
ἵνα μὴ κεκλάγγω διακενῆς ἄλλως ἐγώ·
ἐὰν δὲ μή, τολοιπὸν οὐ κεκλάγξομαι.

Φι. ἰοὺ, ἰού·
ὅσας κατηγόρευσε τὰς πανουργίας·
κλέπτον τὸ χρῆμα τἀνδρός· οὐ καὶ σοὶ δοκεῖ,
ὦ 'λεκτρυών; νὴ νὸν Δί', ἐπιμύει γέ τοι.
ὁ Θεσμοθέτης. ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω.

Σωσίας ὡς Θεσμοθέτης.

αὐτὸς καθελοῦ· τοὺς μάρτυρας γὰρ ἐσκαλῶ.
Δάβητι μάρτυρας παρεῖναι, τρυβλίον,
δοίδυκα, τυρόκνηστιν, ἐσχάραν, χύτραν,
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκαυμένα.
ἀλλ' ἔτι σύ γ' οὐρεῖς, κοὐ καθίζεις;

Φι. οὐδέπω·
τοῦτον δέ γ' οἶμ' ἐγὼ χεσεῖσθαι τήμερον.

Βδ. οὐκ ἂν σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος,
καὶ ταῦτα τοῖς φεύγουσιν, ἀλλ' ὀδὰξ ἔχει;
ἀνάβαιν', ἀπολογοῦ. τί σεσιώπηκας; λέγε.

Φι. ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.

Βδ. οὐκ· ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης.

Digitized by Google

ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
πάρεχ' ἐκποδών. ἐγὼ γὰρ ἀπολογήσομαι.
Χαλεπὸν μὲν, ὦ 'νδρες, ἐστὶ διαβεβλημένου
ὑπεραποκρίνεσθαι κυνός· λέξω δ' ὅμως.
ἀγαθὸς γάρ ἐστι, καὶ διώκει τοὺς λύκους.
Φι. κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυνωμότης.
Βδ. μὰ Δί', ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν,
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
Φι. τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;
Βδ. ὅτι σοῦ προμάχεται, καὶ φυλάττει τὴν θύραν,
καὶ τἄλλ' ἄριστός ἐστιν· εἰ δ' ὑφείλετο,
ξύγγνωθι. κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.
Φι. ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον.
Βδ. ἄκουσον, ὦ δαιμόνι', ἐμοῦ τῶν μαρτύρων.
ἀνάβηθι, τυρόκνηστι, καὶ λέξον μέγα.
σὺ γὰρ ταμιεύουσ' ἔτυχες. ἀπόκριναι σαφῶς,
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἃ 'λαβες.
φησὶ κατακνῆσαι.
Φι. νὴ Δί' ἀλλὰ ψεύδεται.
Βδ. ὦ δαιμόνι', ἐλέει ταλαιπωρουμένους.
οὗτος γὰρ ὁ Λάβης καὶ τραχήλι' ἐσθίει,
καὶ τὰς ἀκάνθας· κοὐδέποτ' ἐν ταυτῷ μένει.
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
αὐτοῦ μένων γὰρ, ἅττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μή, δάκνει.
Φι. αἰβοῖ· τί κακόν ποτ' ἔσθ', ὅτῳ μαλάττομαι;

Digitized by Google

tuit subito. Facesse hinc: ego enim causam tuam defendam. Difficile quidem est, ô viri, crimine invidioso arcessiti canis patrocinium suscipere: dicam tamen. Bonus enim est et lupos fugat.

PHIL. Immo fur iste quidem et conjuratus.

BDEL. Neutiquam hercle: sed natum quantum est canum optimus est, quique possit præesse magno pecori.

PHIL. At vero quid prodest, si caseum comedit?

BDEL. Nempe pro te pugnat, et custodit januam, ceteraque optimus est: si autem quidpiam surripuit, condona eum; citharam enim pulsare nescit.

PHIL. Vellem equidem, ut nec literas sciret, ut ne patrato scelere orationem conscripsisset.

BDEL. Audi, ô bone, meos testes. Ascende tu, radula, et dic alta voce: tu enim tunc quæsturam exercebas: responde clare: nonne comminuisti militibus dividenda quæ acceperas? Ait se comminuisse.

PHIL. Sed mehercle mentitur.

BDEL. O bone, miserere afflictorum. Iste enim Labes et capita piscium edit et spinas: nec unquam in eodem loco manet. Alter vero ille nihil aliud scit quam domum custodire; quippe manens ibi semper, quæcunque quis inferat, eorum partem sibi flagitat: si quis vero non det, mordet eum illico.

PHIL. Au! quidnam est mali, quo mollesco? malum quoddam evenit mihi, et persuadeor.

Digitized by Google

BDEL. Age, mi pater, obsecro, miserescito ejus, et noli ita perdere. Ubi sunt liberi? ascendite, ô miseri, et gannitu orate, obsecrate, et lacrimate.

PHIL. Descende, descende, descende, descende.

BDEL. Descendam; et quamvis istud *descende* complures jam deceperit, descendam tamen.

PHIL. Abi in malam rem. Ut nocet sorbuisse! Ecce enim illacrimavi ego, quod, animo quidem meo, haud fecissem unquam, nisi implessem me lente.

BDEL. Nonne ergo absolvetur?

PHIL. Difficile scitu.

BDEL. Age, mi patercule, ad meliora convertere. Hoc sumto calculo, ad posteriorem urnam connivens transili, et eum absolve, ô pater.

PHIL. Minime: nam citharam pulsare nescio.

BDEL. Agedum, hac te celeriter circumducam.

PHIL. Estne hæc prior urna?

BDEL. Hæcce.

PHIL. Huc demissus esto hicce calculus.

BDEL. Deceptus est, et absolvit imprudens.

PHIL. Age effundam calculos humi: nam qua fortuna certavimus?

BDEL. Res ipsa videtur ostensura. Absolutus es, ô Labes. Pater, pater, quid tibi accidit?

PHIL. Hei mihi! ubi est aqua?

BDEL. Erige, erige te ipsum.

Digitized by Google

κακόν τι περιβαίνει με, κἀναπείθομαι.

Βδ. ἴθ', ἀντιβολῶ σ'· οἰκτείρατ' αὐτὸν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ', ὦ πόνηρα, καὶ κνυζούμενα
αἰτεῖτε, κἀντιβολεῖτε, καὶ δακρύετε.

Φι. κατάβα, κατάβα, κατάβα, κατάβα.

Βδ. καταβήσομαι.
καίτοι τὸ ΚΑΤΑΒΑ τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.

Φι. ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν. γνώμην ἐμὴν,
οὐδ' ἂν ποτέ γ', ἀλλ' ἢ τῆς φακῆς πεπλησμένος.

Βδ. οὔκουν ἀποφεύγει δῆτα;

Φι. χαλεπὸν εἰδέναι.

Βδ. ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον, ἐπὶ τὸν ὕστερον
μύσας παρᾶξον, κἀπόλυσον, ὦ πάτερ.

Φι. οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.

Βδ. φέρε νυν, σὲ τηνδὶ τὴν ταχίστην περιάγω.

Φι. ὅδ' ἔσθ' ὁ πρότερος;

Βδ. οὗτος.

Φι. αὕτη 'ντευθενί.

Βδ. ἐξηπάτηται, κἀπολέλυκεν οὐχ ἑκών.

Φι. φέρ', ἐξεράσω, πῶς γὰρ ἠγωνίσμεθα;

Βδ. δείξειν ἔοικεν· ἐκπέφευγας, ὦ Λάβης.
πάτερ, πάτερ, τί πέπονθας;

Φι. οἴμοι· ποῦ 'σθ' ὕδωρ;

Βδ. ἔπαιρ', ἔπαιρε σαυτόν.

Digitized by Google

Φι. εἶπ' ἐκεῖνό μοι·
ὄντως ἀπέφυγε;
Βδ. νὴ Δί'.
Φι. οὐδέν εἰμ' ἄρα.
Βδ. μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.
Φι. πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοὶ, ξύγγνωτέ μοι.
ἄκων γὰρ αὔτ' ἔδρασα, κοὐ τοὐ 'μοῦ τρόπου.
Βδ. καὶ μηδὲν ἀγανάκτει γ'· ἐγὼ γάρ σ', ὦ πάτερ,
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῖ,
ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον, ἐπὶ θεωρίαν,
ὥσθ' ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖταί σ' ἐξαπατῶν Ὑπέρβολος.
ἀλλ' εἰσίωμεν.
Φι. ταῦτα νῦν γ', εἴπερ δοκεῖ.
Χο. ἀλλ' ἴτε χαίροντες, ὅποι βούλεσθ',
ὑμεῖς ταχέως· ὦ μυριάδες δ'
ἀναρίθμητοι, νῦν μὲν, τὰ μέλλοντ' εὖ λέγεσθαι,
μὴ πέσῃ φαύλως χάμαζ', εὐλαβεῖσθε.
τοῦτο γὰρ σκαιῶν θεατῶν
ἔστι πάσχειν, κοὐ πρὸς ὑμῶν.

Νῦν αὖτε λεῴ, προσέχετε τὸν νοῦν, εἴπερ καθαρόν τι φιλεῖτε.
μέμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς νῦν ἐπιθυμεῖ.
ἀδικεῖσθαι γάρ φησιν, πρότερος πόλλ' αὐτοὺς εὖ πεποιηκώς,
τὰ μὲν οὐ φανερῶς, ἀλλ' ἐπικουρῶν κρύβδην ἑτέροισι ποιηταῖς,
μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν.
εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς, κωμῳδικὰ πολλὰ χέασθαι.

Digitized by Google

Phil. Illud dic mihi: reverane absolutus est?

Bdel. Ita hercle.

Phil. Nullus ego sum.

Bdel. Ne sis sollicitus, ô bone; sed surge.

Phil. Quomodo ergo id ego mihi conscire potero, hominem reum meo calculo fuisse absolutum? quid me nunc denique fiet? sed, ô dii sancti, ignoscite mihi: invitus enim id feci, et non est moris mei.

Bdel. Ne feras id ægre; ego enim te, ô pater, splendide alam, ducens mecum quocunque, ad cœnam, ad convivium, ad spectacula, ut reliquum vitæ tempus degas jucunde: neque te irridebit Hyperbolus, os tibi sublinens offuciis. Sed ingrediamur.

Phil. Id nunc fiat, si videtur.

Chor. Sed ite vos læti, quo vultis, celeriter. At, ô innumerabiles catervæ, nunc quæ recte dicentur, ne decidant humi in vanum, cavete? nam inscitorum est spectatorum id committere, et non vestrûm.

Nunc vero advertite animum, ô populi, si vera nec fucata loquentem amatis: nam incusare spectatores poëtæ nunc libido est: ait enim vos in se injurios esse, de quibus prior sæpe bene meritus est, partim non aperte, sed clam adjutans alios poëtas, quum Euryclis divinationem et mentem imitatus, in alienos

Digitized by Google

ingressus ventres, comicas multas fudit fabulas: partim vero aperte postea, quum ipsemet ausus est periculum subire, non alienarum, sed suarum ipsius Musarum ora moderans. Quum autem tantis honoribus elatus fuisset, quantis neminem mactavistis unquam, negat credidisse se summum attigisse fastigium, aut tumidos spiritus sumsisse, et palæstras comissabundum circuisse ut tentaret pueros; et si quis amator ad se properaret, indigne ferens perstringi amasium suum, negat se ulli unquam morem gessisse, consilio usus honesto, ne videlicet Musas, quibuscum consuescit, lenas redderet. Et quando primum docere cœpit, negat se homines aggressum fuisse; sed herculeo impetu maxima monstra adortum se ait, quum statim ab initio audacter congressus est cum illa immani rictu horrenda belua, cujus ab oculis terribiles Cynnæ radii micabant, centumque capita assentatorum perditissimorum circumlambebant ei caput: vocem autem habebat gurgitis perniciem enixi, odorem phocæ, illotos Lamiæ coleos, culum cameli. Hujusmodi monstrum quum conspicatus esset, negat se timuisse, et muneribus id placavisse: verum etiamnum pro vobis pugnat, aitque se præter istud monstrum incubos et febres aggressum superiore anno, qui patres strangulabant noctu, et avos suffocabant, et in cubilibus incubantes, quicunque vestrûm lites odere, litium contestationes, et citationes, et testimonia illis conglutinabant, ita ut perterriti multi ad Polemarchum se proriperent. Talem malorum depulsorem, hujusce purgatorem regionis, quum inveneritis, tamen anno superiore prodidistis, serentem sententias grata novitate commendabiles, quas, quia non recte intellexeratis, incrementum capere non sivistis: quamvis per Bacchum inter libamina sæpe

Digitized by Google

μετὰ τοῦτο δὲ καὶ φανερῶς ἤδη κινδυνεύων καθ' ἑαυτὸν,
οὐκ ἀλλοτρίων, ἀλλ' οἰκείων Μουσῶν στόμαθ' ἡνιοχήσας.
ἀρθεὶς δὲ μέγας, καὶ τιμηθεὶς, ὡς οὐδεὶς πώποτ' ἐν ὑμῖν,
οὐκ ἐκτελέσαι φησὶν ἐπαρθεὶς, οὐδ' ὀγκῶσαι τὸ φρόνημα,
οὐδὲ παλαίστρας περικωμάζειν πειρῶν· οὐδ', εἴ τις ἐραστὴς,
κωμῳδεῖσθαι παίδιχ' ἑαυτοῦ μισῶν, ἔσπευδε πρὸς αὐτὸν,
οὐδενί πώποτέ φησι πιθέσθαι, γνώμην τιν' ἔχων ἐπιεικῆ,
ἵνα τὰς Μούσας, αἷσιν χρῆται, μὴ προαγωγοὺς ἀποφήνῃ.
οὐδ', ὅτε πρῶτόν γ' ἦρχε διδάσκειν, ἀνθρώποις φήσ' ἐπιθέσθαι·
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων, τοῖσι μεγίστοις ἐπιχειρεῖν,
θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ καρχαρόδοντι,
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
περὶ τὴν κεφαλήν· φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας,
φώκης δ' ὀσμὴν, Λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας, οὔ φησιν δείσας καταδωροδοκῆσαι·
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖ· φησίν τε μετ' αὐτοῦ
τοῖς ἠπιάλοις ἐπιχειρῆσαι πέρυσιν, καὶ τοῖς πυρετοῖσιν,
οἳ τοὺς πατέρας τ' ἦγχον νύκτωρ, καὶ τοὺς πάππους ἀπέπνιγον·
κατακλινόμενοί τ' ἐπὶ ταῖς κοίταις, ἐπὶ τοῖσιν ἀπράγμοσιν ὑμῶν,
ἀντωμοσίας καὶ προσκλήσεις καὶ μαρτυρίας ξυνεκόλλων,
ὥστ' ἀναπηδᾷν δειμαίνοντας πολλοὺς ὡς τὸν Πολέμαρχον.
τοιόνδ' εὑρόντες ἀλεξίκακον, τῆς χώρας τῆσδε καθαρτὴν,
πέρυσιν καταπρούδοτε, καινοτάταις σπείροντ' αὐτὸν διανοίαις,
ἃς ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς ἐποιήσατ' ἀναλδεῖς·
καί τοι σπένδων πόλλ' ἐπὶ πολλαῖς ὄμνυσιν τὸν Διόνυσον,
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦσαι.

Digitized by Google

τῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν, τοῖς μὴ γνοῦσιν παραχρῆμα
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενόμισται,
εἰ παρελαύνων τὰς ἀντιπάλους, τὴν ἐπίνοιαν ξυνέτριψεν.
ἀλλὰ τολοιπὸν τῶν ποιητῶν,
ὦ δαιμόνιοι, τοὺς ζητοῦντας
καινόν τι λέγειν, κἀξευρίσκειν,
στέργετε μᾶλλον, καὶ θεραπεύετε,
καὶ τὰ νοήματα σώζεσθ' αὐτῶν.
ἐσβάλλετε δ' εἰς τὰς κιβωτοὺς
μετὰ τῶν μήλων· κἂν ταῦτα ποιῆθ',
ὑμῖν δι' ἔτους τῶν ἱματίων
ὀζήσει δεξιότητος.
Ημ. Ὦ πάλαι ποτ' ὄντες ἡμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς,
ἄλκιμοι δ' ἐν μάχαισι,
καὶ κατ' αὐτὸ τοῦτο δὴ μόνον ἄνδρες γε μαχιμώτατοι,
πρίν ποτ' ἦν, πρὶν ταῦτα· νῦν δ'
οἴχεταί γε, κύκνου τε πολιώτεραι δὴ
αἵδ' ἐπανθοῦσιν τρίχες.
ἀλλὰ κἀκ τῶν λειψάνων
δεῖ τῶνδε ῥώμην νεανικὴν ἔχειν. ἐγὼ
τοὐμὸν νομίζω γῆρας εἶναι κρεῖττον, ἢ πολ-
λῶν κικίννους νεανιῶν,
καὶ σχῆμα, κεὐρυπρωκτίαν.
Χο. Εἴ τις ὑμῶν, ὦ θεαταὶ, τὴν ἐμὴν ἰδὼν φύσιν,
εἶτα θαυμάζει μ' ὁρῶν μέσον διεσφηκωμένον,
ἤ τίς ἐστιν ἡ 'πίνοια τῆσδε τῆς ἐγκεντρίδος,
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν.
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐῤῥοπύγιον,

Digitized by Google

adjuret, nunquam meliores istis versus comicos quemquam audivisse. Vobis quidem turpe est non statim illorum præstantiam cognovisse: sed poëta nihilo deterior apud sapientes habetur, si postquam adversarios prætervectus est, spem victoriæ confregit. At in posterum, ô boni, poëtarum illos, qui studebunt aliquid novi dicere et invenire, magis amate et colite, atque eorum sententias servate et recondite in arcas cum pomis. Hæc si facietis, toto anno vobis vestes redolebunt dexteritatem.

Sem. O nos olim fortes in choris, fortes in præliis, ob idque solum viri pugnacissimi! Olim hæc erant, olim: nunc autem perierunt, et cycno jam candidiores efflorescunt hi nobis capilli. Sed ex istis etiam reliquiis oportet robur adsumere juvenile. Ego meum senium præstantius esse puto multorum adolescentum cincinnis et ornatu et impudicitia.

Chor. Si quis vestrûm, spectatores, conspecta mea persona, miretur, quum videat medium me gracilem esse factum in modum vespæ, aut quæ mens sit hujus mei aculei, facile hunc ego docebo, si vel indoctus fuerit antea. Nos, quibus aculeatus

Digitized by Google

est potex, Attici sumus, vera et sincera nobilitate soli insignes, indigenæ; fortissimum genus, quodque hanc rempublicam sæpius adjuvit in præliis; quando venit Barbarus, fumo premens incendiisque vastans universam regionem, cupidine incitatus favos nostros vi eximendi. Nam confestim facta excursione cum hasta et clypeo pugnam ipsis conseruimus, ira proluri acri, vir juxta virum stans, præ iracundia mordens sibi labra: tela volantia cœlumque diemque ex oculis eripiebant: sed tamen in fugam compulimus eos circa vesperam, diis opem ferentibus: noctua enim ante conflictum transvolarat nostrum exercitum. Deinde fugientes insecuti sumus, tanquam thynnos pungentes eos in braccas: illi autem fugiebant, genæque et supercilia ipsis interea pungebantur, ita ut apud Barbaros ubique etiamnum nihil Attico crabrone perhibeatur fortius.

Sem. Utique acer tum eram, quippe qui nihil prorsus timerem: et sane delevi perduelles, navigans illuc triremibus. Non enim tunc curabamus, quomodo scite orationem diceremus, vel calumniaremur aliquem: sed laudis illius erat inter nos æmulatio, quis optimus elueret remex. Itaque quum multas ceperimus urbes, virtuti nostræ id maxime debetur, quod huc ferantur tributa, quæ depeculantur juniores.

Chor. Si nos contemplemini diligentius, ad omnia invenietis nos consimiles crabronibus, tum vivendi ratione, tum etiam

Digitized by Google

Ἀττικοὶ, μόνοι δικαίως εὐγενεῖς αὐτόχθονες·
ἀνδρικώτατον γένος, καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ βάρβαρος,
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν, καὶ πυρπολῶν,
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.
εὐθέως γὰρ ἐκδραμόντες ξὺν δορὶ, ξὺν ἀσπίδι,
ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες,
στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων·
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν.
ἀλλ' ὅμως ἀπεωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέρᾳ.
γλαῦξ γὰρ ἡμῶν, πρὶν μάχεσθαι, τὸν στρατὸν διέπτετο.
εἶτα δ' ἑσπόμεσθα θυννάζοντες εἰς τοὺς θυλάκους·
οἱ δ' ἔφευγον, τὰς γνάθους καὶ τὰς ὀφρῦς κεντούμενοι·
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
μηδὲν Ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.

Ημ. Ἆρα δεινὸς ἦ τόθ', ὥστε πάντα μὴ δεδοικέναι·
καὶ κατεστρεψάμην γε
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖς τριήρεσιν.
οὐ γὰρ ἦν ἡμῖν ὅπως
ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ', οὐδὲ
συκοφαντήσειν τινὰ
φροντίς· ἀλλ' ὃς ἂν ἐρέτης
ἔσοιτ' ἄριστος. τοιγαροῦν πολλὰς πόλεις
Μήδων ἑλόντες, αἰτιώτατοι φέρεσθαι
τὸν φόρον δεῦρ' ἐσμὲν, ὃν
κλέπτουσιν οἱ νεώτεροι.

Χο. Πολλαχοῦ σκοποῦντες ἡμᾶς, εἰς ἅπανθ' εὑρήσετε
τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερεστάτους.

Digitized by Google

πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῶον ἠρεθισμένον
μᾶλλον ὀξύθυμόν ἐστιν, οὐδὲ δυσκολώτερον·
εἶτα τἄλλ' ὅμοια πάντα σφηξὶ μηχανώμεθα.
ξυλλεγέντες γὰρ καθ' ἑσμοὺς, ὡσπερεὶ τἀνθρήνια,
οἱ μὲν ἡμῶν, οὗπερ ὥρχων, οἱ δὲ παρὰ τοὺς Ἕνδεκα,
οἱ δ' ἐν Ὠδείῳ δικάζουσ'· οἱ δὲ πρὸς τοῖς τειχίοις
ξυμβεβυσμένοι, πυκνὸν νεύοντες εἰς τὴν γῆν, μόλις,
ὥσπερ οἱ σκώληκες, ἐν τοῖς κυττάροις κινούμενοι.
ἔς τε τὴν ἄλλην δίαιταν ἐσμὲν εὐπορώτατοι.
πάντα γὰρ κεντοῦμεν ἄνδρα, κἀκπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσὶν ἐγκαθήμενοι,
οὐκ ἔχοντες κέντρον· οἳ μένοντες ἡμῶν τοῦ φόρου
τὸν γόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.
τοῦτο δ' ἔστ' ἄλγιστον ἡμῖν, ἤν τις ἀστράτευτος ὢν
ἐκφορῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὕπερ
μήτε κώπην, μήτε λόγχην, μήτε φλύκταιναν λαβών.
ἀλλ' ἐμοὶ δοκεῖ τολοιπὸν τῶν πολιτῶν ἔμβραχυ
ὅστις ἂν μὴ 'χῃ τὸ κέντρον, μὴ φέρειν τριώβολον.

ΦΙΛΟΚΛΕΩΝ, ΒΔΕΛΥΚΛΕΩΝ, ΧΟΡΟΣ.

Φι. Οὔ τοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι,
ἐπεὶ μόνος μ' ἔσωσε παρατεταγμένον,
ὅθ' ὁ Βορέας ὁ μέγας ἐπεστρατεύσατο.
Βδ. ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν.
Φι. μὰ τὸν Δί', οὐ γὰρ οὐδαμῶς μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος
ἀπέδωκ' ὀφείλων τῷ γναφεῖ τριώβολον.
Βδ. ἀλλ' οὖν πεπειράσθω γ', ἐπειδήπερ γ' ἅπαξ

Digitized by Google

moribus. Primo enim nullum animal, si irritetur, nobis magis est iracundum, neque truculentius. Deinde et cetera omnia cum crabronibus molimur. Nam per examina collecti, tanquam in diversa alvearia migrantes, partim apud Archontem, partim apud Undecimviros, partim in Odeo jus dicimus: alii etiam juxta mœnia stipati arcte, in terram capite demisso, vix moventes se ipsos, tanquam vermes in cellulis. Ad reliqua etiam vitæ necessaria invenienda ingenio sumus promtissimo. Nam quemlibet pungimus, victumque inde nobis paramus. Sed enim fuci quidam inter nos sedent carentes aculeo, qui exspectantes tributi nostri fructum comedunt otiosi. Hoc autem est molestissimum nobis, si quis non militans aufert mercedem nostram, licet pro salute hujus urbis nec remum, nec hastam, nec pustulam ceperit. Sed rem in pauca conferam; censeo ut deinceps quicunque civium non habuerit aculeum, is ne triobolum accipiat.

PHILOCLEO, BDELYCLEO, CHORUS.

PHIL. Nunquam profecto pallium hoc vivus exuam, quod quidem solum mihi in acie saluti fuit, quum vehemens ille Boreas ingruit.

BDEL. Nihil boni, ut videtur, cupis evenire tibi.

PHIL. Haudquaquam enim hercle mihi expedit pretiosam vestem gestare. Nam et nuper, quum me pisciculis opplessem, maculatam vestem fulloni purgandam detuli, cui debitam mercedem triobolum solvi.

BDEL. Saltem periculum fiat, quandoquidem mihi te ipsum semel dedidisti, ut tibi benefaciam.

Digitized by Google

Phil. Quid ergo jubes me facere?

Bdel. Missum hoc pallium face, et hancce lænam conjice in collum instar pallii.

Phil. Ergone filios generare et educare oportet, quum iste me nunc suffocare vult?

Bdel. Hem, hanc cape et injice tibi, et ne loquere.

Phil. Per deos obsecro, quid hoc mali est?

Bdel. Alii vocant Persida, alii Gaunacum.

Phil. At ego lodicem esse putabam Thymœtidem.

Bdel. Nec mirum id quidem: nam Sardes nunquam adiisti. Alioquin enim nosses; nunc autem ignoras.

Phil. Egone? non hercle, non, inquam. Sed mihi quidem videtur persimilis esse Morychi villoso sago.

Bdel. Minime: sed Ecbatanis ista texuntur.

Phil. An Ecbatanis fiunt tramæ flocci?

Bdel. Nequaquam, ô bone; sed hoc a Barbaris texitur magno sumtu, siquidem hæc læna facile talentum absorpsit lanæ.

Phil. Nonne ergo *Laniperdam* hanc oportebat appellare potius, quam Gaunacum?

Bdel. Mane sis, ô bone, et consiste, dum indueris.

Phil. Hei mihi misero! quantum calorem impurata hæc in me eructavit!

Bdel. Nonne amicieris?

Phil. Non equidem hercle: sed, ô bone, si necesse est, clibanum induite mihi.

Digitized by Google

ἐμοὶ σεαυτὸν παραδέδωκας εὖ ποιεῖν.
Φι. τί οὖν κελεύεις δρᾶν με;
Βδ. τὸν τρίβων' ἄφες·
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.
Φι. ἔπειτα παῖδας χρὴ φυτεύειν καὶ τρέφειν,
ὅθ' οὑτοσί με νῦν ἀποπνῖξαι βούλεται;
Βδ. ἔχ', ἀναβαλοῦ τηνδὶ λαβὼν, καὶ μὴ λάλει.
Φι. τουτὶ τὸ κακὸν τί ἐστι, πρὸς πάντων θεῶν;
Βδ. οἱ μὲν καλοῦσι Περσίδ'· οἱ δὲ καυνάκην.
Φι. ἐγὼ δὲ σισύραν ᾠόμην Θυμοιτίδα.
Βδ. κοὐ θαῦμά γ'· ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας.
ἔγνως γὰρ ἄν· νῦν δ' οὐχὶ γιγνώσκεις·
Φι. ἐγώ;
μὰ τὸν Δί' οὐ τοίνυν· ἀτὰρ δοκεῖ γ' ἐμοὶ
ἐοικέναι μάλιστα Μορύχου σάγματι.
Βδ. οὔκ· ἀλλ' ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται·
Φι. ἐν Ἐκβατάνοισι γίγνεται κρόκης χόλιξ;
Βδ. πόθεν, ὦ 'γάθ'; ἀλλὰ τοῦτο τοῖσι βαρβάροις
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ τοι
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίως.
Φι. οὐκοῦν ἐριώλην δῆτ' ἐχρῆν ταύτην καλεῖν
δικαιότερόν γ', ἢ καυνάκην.
Βδ. ἔχ', ὦ 'γαθὲ,
καὶ στῆθί γ' ἀμπισχόμενος.
Φι. οἴμοι δείλαιος·
ὡς θερμὸν ἡ μιαρά τι μου κατήρυγεν.
Βδ. οὐκ ἀναβαλεῖ;
Φι. μὰ Δί' οὐκ ἔγωγ'. ἀλλ', ὦ 'γαθὲ,

Digitized by Google

εἴπερ γ' ἀνάγκη, κρίβανόν μ' ἀμπίσχετε.
Βδ. φέρ', ἀλλ' ἐγώ σε περιβαλῶ· σὺ δ' οὖν ἴθι.
Φι. κατάθου γε μέντοι καὶ κρεάγραν.
Βδ. τιὴ, τί δή;
Φι. ἵν' ἐξέλῃς με, πρὶν διεῤῥυηκέναι.
Βδ. ἄγε νῦν, ἀποδύου τὰς καταράτους ἐμβάδας,
ταςδὶ δ' ἀνύσας ὑπόδυθι τὰς Λακωνικάς.
Φι. ἐγὼ γὰρ ἂν τλαίην ὑποδύσασθαί ποτε
ἐχθρῶν παρ' ἀνδρῶν δυσμενῆ καττύματα;
Βδ. ἔνθες πόδ', ὦ 'τὰν, κᾆτα βαῖν' ἐῤῥωμένως,
ἐς τὴν Λακωνικὴν ἀνύσας.
Φι. ἀδικεῖς γ' ἐμὲ,
ἐς τὴν πολεμίαν ἀποβιβάζων τὸν πόδα.
Βδ. φέρε καὶ τὸν ἕτερον.
Φι. μηδαμῶς τοῦτόν γ', ἐπεὶ
πάνυ μισολάκων αὐτοῦ 'στιν εἷς τῶν δακτύλων.
Βδ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.
Φι. κακοδαίμων ἐγὼ,
ὅστις ἐπὶ γήρᾳ χίμετλον οὐδὲν λήψομαι.
Βδ. ἄνυσόν ποθ' ὑποδυσάμενος· εἶτα πλουσίως
ὡδὶ προβὰς, τρυφερόν τι διασαλακώνισον.
Φι. ἰδού. θεῶ τὸ σχῆμα, καὶ σκέψαι μ', ὅτῳ
μάλιστ' ἔοικα τὴν βάδισιν τῶν πλουσίων.
Βδ. ὅτῳ; δοθιῆνι σκόροδον ἠμφιεσμένῳ.
Φι. καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.
Βδ. ἄγε νυν, ἐπιστήσει λόγους σεμνοὺς λέγειν,
ἀνδρῶν παρόντων πολυμαθῶν καὶ δεξιῶν;
Φι. ἔγωγε.

Digitized by Google

Bdel. Age sis, ipse ergo te amiciam: tu perge modo.

Phil. Porro huc etiam depone fuscinam.

Bdel. Quid ita?

Phil. Ut me eximas, prius quam liquefiam et diffluam.

Bdel. Age nunc exue illos detestabiles calceos, et propere indue Laconicas has baxeas.

Phil. Egone ut sustineam induere unquam ab hostibus consuta infesta calceamenta?

Bdel. Pedem immitte, ô bone, propere, deinde innitere fortiter, in Laconicam.

Phil. Injuriam tu quidem mihi facis, qui in hostile solum me cogis deferre pedem.

Bdel. Immitte nunc et alterum pedem.

Phil. Minime vero istum: nam unus digitorum ejus Laconas odit quam maxime.

Bdel. Aliter fieri nequit.

Phil. Infelix ego, qui in senectute pernionem non habebo!

Bdel. Propera induere: deinde more divitum sic incede cum molli et delicato motu corporis.

Phil. En: specta jam habitum meum, et considera cui potissimum ex divitibus sum incessu similis.

Bdel. Cuinam? furunculo, cui impositum ex alliis emplastrum.

Phil. Et profecto jam mihi libido est clunem motitare.

Bdel. Agedum, sciesne graves et præclaros sermones exsequi coram viris doctis et lepidis?

Phil. Equidem.

Digitized by Google

Bdel. Quosnam ergo proferres?

Phil. Permultos. Primum quidem ut Lamia capta pepederit. Deinde ut Cardopio matrem suam---

Bdel. Ne mihi narra fabulas: sed de rebus humanis sermones perhibe, quales maxime domi solemus.

Phil. Jam igitur ego novi eorum, qui maxime sunt domestici, istum: *Olim mus erat et mustela---*

Bdel. *O stolide et indocte*, inquit Theogenes stercorario, idque eum objurgans. De muribus et mustelis vis narrare inter viros?

Phil. De quibus ergo narrare me oportet?

Bdel. De rebus splendidis. Ut sacram legationem obieris una cum Androcle et Clisthene.

Phil. At ego nullibi ludos spectavi, nisi in Paro, idque duobus obolis pro mercede solutis.

Bdel. Ergo oportet saltem te dicere, ut illico pancratio certaverit Ephudion cum Asconda præclare, senex jam et canus, qui tamen haberet latus robustum, et manus, et ilia, thoracemque firmissimum.

Phil. Ohe, desine; nihil dicis. Qui enim pancratio certaret thorace indutus?

Bdel. Hunc in modum confabulari solent sapientes. Sed aliud quid dic mihi. Si apud hospites biberes, qualenam velles tuum ipsius memorare facinus fortissimum in juventute patratum?

Phil. Illud, illud quidem meorum est fortissimum, quum Ergasionis ridicas furatus sum.

Digitized by Google

Βδ. τίνας δῆτ' ἂν λέγοις;
Φι. πολλοὺς πάνυ.
πρῶτον μὲν, ὡς ἡ Λαμί' ἁλοῦσ' ἐπέρδετο·
ἔπειτα δ', ὡς ὁ Καρδοπίων τὴν μητέρα---
Βδ. μή 'μοιγε μύθους. ἀλλὰ τῶν ἀνθρωπίνων,
οἵους λέγομεν μάλιστα τοὺς κατ' οἰκίαν.
Φι. ἐγῷδα τοίνυν τῶν γε πάνυ κατ' οἰκίαν
ἐκεῖνον, ὡς οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ---
Βδ. Ω ΣΚΑΙΕ, ΚΑΠΑΙΔΕΥΤΕ, Θεογένης ἔφη
τῷ κοπρολόγῳ, καὶ ταῦτα λοιδορούμενος.
μῦς καὶ γαλᾶς μέλλεις λέγειν ἐν ἀνδράσι;
Φι. ποίους τινὰς δὲ χρὴ λέγειν;
Βδ. μεγαλοπρεπεῖς.
ὡς ξυνεθεώρεις Ἀνδροκλεῖ καὶ Κλεισθένει.
Φι. ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῦ,
πλὴν ἐς Πάρον· καὶ ταῦτα δύ' ὀβολὼ φέρων.
Βδ. ἀλλ' οὖν λέγειν χρή σ', ὡς ἐμάχετό γ' αὐτίκα
Ἐφουδίων παγκράτιον Ἀσκώνδᾳ καλῶς,
ἤδη γέρων ὢν καὶ πολιός· ἔχων δέ τοι
πλευρὰν βαρυτάτην, καὶ χέρας, λαγόνας τε, καὶ
θώρακ' ἄριστον.
Φι. παῦε, παῦ· οὐδὲν λέγεις.
πῶς δ' ἂν μαχέσαιτο παγκράτιον, θώρακ' ἔχων;
Βδ. οὕτως διηγεῖσθαι νομίζουσ' οἱ σοφοί.
ἀλλ' ἕτερον εἰπέ μοι; παρ' ἀνδράσι ξένοις
πίνων, σεαυτοῦ ποῖον ἂν λέξαι δοκεῖς
ἐπὶ νεότητος ἔργον ἀνδρικώτατον;
Φι. ἐκεῖν', ἐκεῖν' ἀνδρειότατόν γε τῶν ἐμῶν,

Digitized by Google

ὅτ' Ἐργασίωνος τὰς χάρακας ὑφειλόμην.

Βδ. ἀπολεῖς με. ποίας χάρακας; ἀλλ' ὡς ἢ κάπρον
ἐδιώκαθές ποτ', ἢ λαγὼν, ἢ λαμπάδα
ἔδραμες, ἀνευρὼν ὅτι νεανικώτατον.

Φι. ἐγᾦδα τοίνυν τό γε νεανικώτατον·
ὅτε τὸν δρομέα Φάϋλλον, ὢν βούπαις ἔτι,
εἷλον, διώκων λοιδορίας, ψήφοιν δυοῖν.

Βδ. παῦ'· ἀλλὰ δευρὶ κατακλινεὶς προσμάνθανε
ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός.

Φι. πῶς οὖν κατακλίνω, φράζ' ἀνύσας.

Βδ. εὐσχημόνως.

Φι. ὡδὶ κελεύεις κατακλιθῆναι;

Βδ. μηδαμῶς.

Φι. πῶς δαί;

Βδ. τὰ γόνατ' ἔκτεινε, καὶ γυμναστικῶς
ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασιν.
ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων·
ὀροφὴν θέασαι· κρεκάδι' αὐλῆς θαύμασον·
ὕδωρ κατὰ χειρός· τὰς τραπέζας εἰσφέρειν·
δειπνοῦμεν· ἀπονενίμμεθ'· ἤδη σπένδομεν.---

Φι. πρὸς τῶν θεῶν, ἐνύπνιον ἑστιώμεθα;

Βδ. αὐλητρὶς ἐνεφύσησεν. οἱ δὲ συμπόται
εἰσὶν, Θέωρος, Αἰσχίνης, Φανὸς, Κλέων,
ξένος τις ἕτερος πρὸς κεφαλῆς Ἀκέστορος.
τούτοις ξυνὼν, τὰ σκόλι' ὅπως δέξει καλῶς.

Φι. ἀληθὲς, ὡς οὐδείς γε Διακρίων δεδέξεται.

Βδ. ἐγὼ εἴσομαι· καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλέων·
ᾄδω δὲ πρῶτος Ἁρμοδίου· δέξει δὲ σύ.

Digitized by Google

Bdel. Enecas: quas tu, malum, narras ridicas? Quin potius? ut aprum olim seetatus fueris aut leporem? vel ut lampadem ferens cucurreris? excogitato facinore aliquo, quod juvenilem audaciam spiret quam maxime.

Phil. Ergo equidem novi audacissimum hoc, quem Phayllum cursorem, adhuc catulaster, persecutus sum judicio, et vici duobus calculis ob maledicta accusatum.

Bdel. Desine, et huc potius accumbe, ut discas quomodo te in conviviis et conversationibus gerere debeas.

Phil. Quomodo ergo accumbam? dic propere.

Bdel. Composite et decore.

Phil. Siccine me jubes accumbere?

Bdel. Nequaquam.

Phil. Quomodo ergo?

Bdel. Genua extende, et, ut palæstræ peritum decet, flexiles artus molliter defunde in stragulis: deinde lauda ex adpositis æreis vasis quidpiam; lacunar contemplare; aulæ crepitacula mirare. Afferatur aqua manibus. Mensæ ferantur intro. Cœnamus. Jam loti sumus. Libamus---

Phil. Per deos obsecro, num epulamur insomnium?

Bdel. Tibicina inflavit tibias. Convivæ autem sunt Theorus, Æschines, Phanus, Cleo, hospes alius nescio quis ad caput Acestoris. Tu una cum istis es; proinde vide, ut scolia scite excipias.

Phil. Itane? ut nullus Diacriorum.

Bdel. Hem, faciam periculum: etenim jam sum ego Cleo. Incino autem prior Harmodium: tu vero excipies. *Nullus unquam vir fuit Atheniensis*—

Digitized by Google

PHIL. *Non sane fur versutior.*

BDEL. Hoccine tu canis? peribis. Magno enim cum clamore minitabitur se perditurum te, et interemturum, atque ex hac regione expulsurum.

PHIL. At ego, siquidem minabitur, aliud hercle occinam: *Heus tu, homo! tibi dico, furiose et præpotens, evertes adhuc hanc civitatem? illa autem jam labat, mox ruinam datura.*

BDEL. Quid vero? si Theorus ad pedes tuos accumbens canat, prehensa Cleonis dextra: *Admeti historiam, ô amice, doctus, viros bonos ama.* Quid illi referes scolion?

PHIL. Equidem canore et musice referam ad hunc modum: *Non licet vulpinari, nec ambobus fieri amicum.*

BDEL. Post illum Æschines Selli filius excipiet scolion, vir sapiens et musicus, sicque incinet: *Pecunias et opes Clitagoræque et mihi cum Thessalis—*

PHIL. *Multas sane dissipasti tu atque etiam ego.*

BDEL. Ista quidem probe tu calles. Sed jam tempus est, ut cœnaturi eamus ad Philoctemonem. Heus puer Chruse, cœnam compone in cistam nobis, ut aliquantisper inebriemur.

Digitized by Google

ΟΥΔΕΙΣ ΠΩΠΟΤ' ΑΝΗΡ ΕΓΕΝΕΤ' ΑΘΗ-
ΝΑΙΟΣ---

Φι. ΟΥΧ ΟΥΤΩ ΓΕ ΠΑΝΟΥΡΓΟΣ ΚΛΕΠΤΗΣ—

Βδ. τουτὶ σύ γ' ᾄδεις; παραπολεῖ. βοώμενος
φήσει γὰρ ἐξολεῖν σε καὶ διαφθερεῖν,
καὶ τῆσδε τῆς γῆς ἐξελᾶν.

Φι. ἐγὼ δέ γε,
ἐάν γ' ἀπειλῇ, νὴ Δί', ἕτερον ᾄσομαι.
Ω 'ΝΘΡΩΦ', ΟΥΤΟΣ Ο ΜΑΙΝΟΜΕΝΟΣ,
ΤΟ ΜΕΓΑ ΚΡΑΤΟΣ,
ΑΝΑΤΡΕΨΕΙΣ ΕΤΙ ΤΑΝ ΠΟΛΙΝ;
Α Δ' ΕΧΕΤΑΙ ΡΟΠΑΣ.

Βδ. τί δ'; ὅταν Θέωρος, πρὸς ποδῶν κατακείμενος,
ᾄδῃ, Κλέωνος λαβόμενος τῆς δεξιᾶς,
ΑΔΜΗΤΟΥ ΛΟΓΟΝ, Ω' ΤΑΙΡΕ, ΜΑΘΩΝ.
ΤΟΥΣ ΑΓΑΘΟΥΣ ΦΙΛΕΙ.
τούτῳ τί λέξεις σκόλιον;

Φι. ᾠδικῶς ἐγώ,
ΟΥΚ ΕΣΤΙΝ ΑΛΩΠΕΚΙΖΕΙΝ,
ΟΥΔ' ΑΜΦΟΤΕΡΟΙΣ ΓΙΓΝΕΣΘΑΙ ΦΙΛΟΝ.

Βδ. μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται,
ἀνὴρ σοφὸς καὶ μουσικός· κᾆτ' ᾄσεται·
ΧΡΗΜΑΤΑ ΚΑΙ ΒΙΑΝ
ΚΛΕΙΤΑΓΟΡᾼ ΤΕ Κᾼ-
ΜΟΙ ΜΕΤΑ ΘΕΤΤΑΛΩΝ—

Φι. ΠΟΛΛΑ ΔΗ ΔΙΕΚΟΜΙΣΑΣ ΣΥ ΤΕ ΚᾼΓΩ.

Βδ. τουτὶ μὲν ἐπιεικῶς σύ γ' ἐξεπίστασαι·
ὅπως δ' ἐπὶ δεῖπνον, εἰς Φιλοκτήμονος ἴμεν.

Digitized by Google

παῖ, παῖ, τὸ δεῖπνον, Χρυσὲ, συσκεύαζε νῷν,
ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου.

Φι. μηδαμῶς.
κακὸν τὸ πίνειν. ἀπὸ γὰρ οἴνου γίγνεται
καὶ θυροκοπῆσαι, καὶ πατάξαι, καὶ βαλεῖν·
κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.

Βδ. οὐκ, ἢν ξυνῇς ἀνδράσι καλοῖς τε κἀγαθοῖς.
ἢ γὰρ παρῃτήσαντο τὸν πεπονθότα·
ἢ λόγον ἔλεξας αὐτὸς ἀστεῖόν τινα,
Αἰσωπικὸν γέλοιον, ἢ Συβαριτικὸν,
ὧν ἔμαθες ἐν τῷ ξυμποσίῳ· κᾆτ' ἐς γέλων
τὸ πρᾶγμ' ἔτρεψας, ὥστ' ἀφείς σ' ἀποίχεται.

Φι. μαθητέον γ' ἄρ' ἐστὶ πολλοὺς τῶν λόγων,
εἴπερ γ' ἀποτίσω μηδὲν, ἤν τι δρῶ κακόν.
ἄγε νυν ἴωμεν, μηδὲν ἡμᾶς ἰσχέτω.

Χο. πολλάκις δὴ 'δοξα 'μαυτῷ δεξιὸς πεφυκέναι,
καὶ σκαιὸς οὐδεπώποτε·
ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον, οὑκ τῶν Κρωβύλου,
οὗτος, ὅντιν' ἐγώ ποτ' εἶδον ἀντὶ μήλου καὶ ῥοᾶς
δειπνοῦντα μετὰ Λεωγόρου.
πεινῇ γὰρ, ἧπερ Ἀντιφῶν.
ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ'· εἶτ' ἐκεῖ
μόνος μόνοισι τοῖς Πενέσ-
ταισι ξυνῆν τῶν Θετταλῶν,
αὐτὸς πενέστης ὢν ἐλάττων οὐδενός.

Ημ. ὦ μακάρι' Αὐτόμενες, ὥς σε μακαρίζομεν.
παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους.
πρῶτα μὲν ἅπασι φίλον, ἄνδρα τε σοφώτατον,

Digitized by Google

Phil. Nequaquam. Noxium est potare: etenim oriuntur ex vino januarum effractiones, verbera, lapidum ictus; deinde quum quis crapulam edormivit, præsenti pecunia multam pendere oportet.

Bdel. Non, si apud viros honestos et bonos fueris. Aut enim veniam petunt ab eo quem offenderis; aut ipse fabulam aliquam facetam narras, Æsopicam ridiculam, aut Sybariticam, ex illis quas audieras in convivio: deinde rem in risum deducis, ita ut ille abeat, missum te faciens.

Phil. Operæ pretium est igitur, ut fabulas multas addiscam, siquidem hoc pacto pœnas non luam, ubi mali quidpiam patravero. Agesis eamus: nil nobis objiciat moram.

Chor. Sæpe mihi visus sum urbanus et lepidus esse, nunquam ineptus et inscitus. Sed multo magis stolidus mihi visus est Amynias Selli filius, de Crobyli prosapia, ille, quem ego aliquando vidi pro pomo et malo punico cœnare cum Leogora: esurit enim sicut et Antipho. Sed enim Pharsalum abiit legatus: deinde ibi solus cum solis Thessalorum Penestis una erat, ipse penesta quum sit non minus ac quivis alius.

Sem. O felix Automenes, quam te beatum prædicamus! filios genuisti solertissimos artifices; primum quidem omnibus gratum, virumque maxime catum, illum, inquam, fidibus ca-

Digitized by Google

nere doctissimum, quem venustas comitabatur: alterum histrionem, difficile dictu quam scitum! porro Ariphradem multo ingeniosissimum; quem aliquando jurabat pater nullo magistro usum, sed suopte ingenio per se didicisse lingua patrare, lupanaria intrantem identidem.

Sem. Sunt, qui me dixerunt in gratiam rediisse cum Cleone. Quum is me nonnihil turbaret urgens, et me probris proscinderet, demumque quum vapularem, qui foris erant, deridebant me valde vociferantem, spectabantque, non quod illos aliqua mei tangeret cura, sed tantum ut viderent, an aliquando pressus dicterium aliquod emissurus essem. Quod ego quum persentiscerem, subblandiri paululum cœpi. Proinde nunc, aiunt, *Ridica delusit vitem.*

XANTHIA, CHORUS, PHILOCLEO, BDELYCLEO, MULIER PANARIA, ACCUSATOR.

Xanth. O beatas vos testudines ob vestram cutem, et ter beatas, præut est illa laterum meorum cutis! quam bene et provide tergum vestrum testa obtexistis, quæ plagas illæsa tolerat: at ego perii, quum tergum meum baculo inscribitur.

Chor. Quid est, ô puer? nam puerum, tametsi est senex eum vocare par est, qui plagas acceperit.

Xanth. Annon ergo ille senex malum erat atrocissimum, et convivarum multo petulantissimus? Etsi adessent Hippylus, Antipho, Lyco, Lysistratus, Theophrastus, Phrynichus, horum

Digitized by Google

τὸν κιθαραοιδότατον, ᾧ χάρις ἐφέσπετο·
τὸν δ' ὑποκριτὴν ἕτερον, ἀργαλέον ὡς σοφόν·
εἶτ' Ἀριφράδην, πολύ τι θυμοσοφικώτατον,
ὅντινά ποτ' ὤμοσε, μαθόντα παρὰ μηδενὸς,
ἀλλ' ἀπὸ σοφῆς φύσεος αὐτόματον ἐκμαθεῖν
γλωττοποιεῖν, εἰς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάστοτε.

Ημ. εἰσί τινες, οἵ μ' ἔλεγον, ὡς καταδιηλλάγην,
ἡνίκα Κλέων μ' ὑπετάραττεν ἐπικείμενος,
καί με κακίαις ἔκνισε· κᾆθ', ὅτ' ἀπεδαιρόμην,
οἱ 'κτὸς ἐγέλων μέγα κεκραγότα θεώμενοι,
οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι,
σκωμμάτιον εἴποτέ τι θλιβόμενος ἐκβαλῶ.
ταῦτα κατιδὼν, ὑπό τι μικρὸν ἐπιθήκισα·
εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

ΞΑΝΘΙΑΣ, ΧΟΡΟΣ, ΦΙΛΟΚΛΕΩΝ, ΒΔΕΛΥΚΛΕΩΝ, ΑΡΤΟΠΩΛΙΣ, ΚΑΤΗΓΟΡΟΣ.

Ξα. ΙΩ χελῶναι μακάριαι τοῦ δέρματος,
καὶ τρισμακάριαι, τοῦ 'πὶ ταῖς πλευραῖς ἐμαῖς·
ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς
κεράμῳ τὸ νῶτον, ὥστε τὰς πληγὰς στέγειν.
ἐγὼ δ' ἀπόλωλα στιζόμενος βακτηρίᾳ.

Χο. τί δ' ἔστιν, ὦ παῖ; παῖδα γὰρ, κἂν ᾖ γέρων,
καλεῖν δίκαιον, ὅστις ἂν πληγὰς λάβῃ.

Ξα. οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακὸν,
καὶ τῶν ξυνόντων πολὺ παροινικώτατος;
καίτοι παρῆν Ἵππυλος, Ἀντιφῶν, Λύκων,
Λυσίστρατος, Θούφραστος, οἱ περὶ Φρύνιχον.

Digitized by Google

τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.
εὐθὺς γὰρ, ὡς ἐνεπλῆτο πολλῶν κἀγαθῶν,
ἐνήλλατ᾽, ἐσκίρτα, 'πεπόρδει, κατεγέλα,
ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον·
κἄτυπτε δή με νεανικῶς, παῖ, παῖ, καλῶν.
εἶτ᾽ αὐτὸν ὡς εἶδ᾽, ἤκασεν Λυσίστρατος·
Ἔοικας, ὦ πρεσβῦτα, νεοπλούτῳ τρυγὶ,
κλητῆρί τ᾽ εἰς ἀχυρῶνας ἀποδεδρακότι.—
ὁ δ᾽ ἀνακραγὼν, ἀντῄκασ᾽ αὐτὸν πάρνοπι,
τὰ θρῖα τοῦ τρίβωνος ἀποβεβληκότι,
Σθενέλῳ τε τὰ σκευάρια διακεκαρμένῳ.
οἱ δ᾽ ἀνεκρότησαν, πλήν γε Θουφράστου μόνου·
οὗτος δὲ διεμύλλαινεν, ὡς δὴ δεξιός.
ὁ γέρων δὲ τὸν Θούφραστον ἤρετ᾽· Εἰπέ μοι,
ἐπὶ τῷ κομᾷς, καὶ κομψὸς εἶναι προσποιεῖ,
κωμῳδολειχῶν περὶ τὸν εὖ πράττοντ᾽ ἀεί;—
τοιαῦτα περιύβριζεν αὐτοὺς ἐν μέρει,
σκώπτων ἀγροίκως, καὶ προσέτι λόγους λέγων
ἀμαθέστατ᾽, οὐδὲν εἰκότας τῷ πράγματι.
ἔπειτ᾽, ἐπειδὴ 'μέθυεν, οἴκαδ᾽ ἔρχεται
τύπτων ἅπαντας, ἤν τις αὐτῷ ξυντύχῃ.
ὁδὶ δὲ δὴ καὶ σφαλλόμενος προσέρχεται.
ἀλλ᾽ ἐκποδὼν ἄπειμι, πρὶν πληγὰς λαβεῖν.

Φι. ἄνεχε, πάρεχε·
κλαύσεταί τις τῶν ὄπισθεν
ἐπακολουθούντων ἐμοί·
οἷον, εἰ μὴ 'ρρήσεθ᾽, ὑμᾶς,
ὦ πονηροὶ, ταυτηῒ τῇ

Digitized by Google

tamen ille omnium longe erat injuriosissimus. Quum enim se primum implevit multis deliciis, occepit saltare, tripudiare, pedere, ridere, ut asellus hordeo saturatus, et me verberavit probe, *Puer*, *Puer*, compellans. Deinde ut ipsum vidit Lysistratus, increpuit eum, hac usus similitudine: *Similis es, ô senex, fæci recens ditatæ, et viatori qui aufugit in paleas.* At ille sublato clamore ipsum contra similem esse dixit *locustæ, quæ floccos amisit palli, et Sthenelo supellectile spoliato.* Illi vero plausum excitarunt, excepto Theophrasto solo, qui labra distorquebat utpote vir scitus et elegans. Tum senex Theophrastum percontari sic infit: *Dic mihi, quare superbis, venustusque et lepidus haberi vis, qui scurriliter divitibus subpalparis semper?* Hujusmodi contumeliis singulos insectabatur, cavillans rustice, prætereaque fabulas narrans ineptissime, nihil ad rem facientes. Deinde postquam inebriatus est, domum venit, verberans omnes quicunque illi fieret obviam. Et eccum jam titubans accedit; sed facessam hinc, priusquam plagas accipiam.

Phil. Desinite, concedite. Plorabit aliquis eorum, qui pone me sequuntur. Vah! ut vos, nisi facessitis, ô improbi, hac teda torrefaciam!

Digitized by Google

Bdel. Profecto tu dabis cras pro istis pœnas nobis omnibus, etsi valde juveniliter audax es. Nam una omnes veniemus, te in jus vocaturi.

Phil. Hui, hui, *vocaturi!* Obsoleta hæc vestra sunt. Num etiam scitis, me ne nomen quidem litium patienter audire? Io, io! ista mihi placent: abjice camos judiciarios. Nonne vero abibitis? ubi est judex Heliasticus? in malam crucem abeat. Ascende huc, aureola melolonthe, fune hoc manu prehenso: firmiter eum tene; sed cave: nam putris est funis ille: attamen fricari gaudet. Vide autem quam te callide subduxerim, convivis jam ore morigeraturam: quamobrem huic peni gratiam refer. Sed non referes, nec opus aggrediere, sat scio: verum decipies et huic peni irridebis cum magno cachinno: nam et aliis multis idem factitasti. At si nunc facilem te benignamque præbeas, ego te, ubi gnatus meus mortuus fuerit, redemtam ex lupanari habebo pro pellice, ô cunne mi. Nunc autem meorum ipsius bonorum non sum dominus: sum enim juvenis et magna cura custodior. Adservat enim me filiolus meus, et est morosus, ceteraque scrupulosus et sordidus cumini sector et nasturti scalptor. Proinde mihi timet, ne corrum-

Digitized by Google

δᾳδὶ φρυκτοὺς σκευάσω.
Βδ. ἦ μὴν σὺ δώσεις αὔριον τούτων δίκην
ἡμῖν ἅπασι, κεἰ σφόδρ' εἶ νεανίας.
ἀθρόοι γὰρ ἥξομέν σε προσκαλούμενοι.
Φι. ἰὴ, ἰεῦ, καλούμενοι.
ἀρχαῖά γ' ὑμῶν· ἆρά γ' ἴσθ'
ὡς οὐδ' ἀκούων ἀνέχομαι
δικῶν; ἰαιβοῖ, αἰβοῖ.
ταδί μ' ἀρέσκει· βάλλε κημούς.
οὐκ ἄπιτε γάρ; ποῦ 'σθ' Ἡλιαστής; ἐκποδών.
ἀνάβαινε δεῦρο χρυσομηλολόνθιον,
τῇ χειρὶ τουδὶ λαβομένη τοῦ σχοινίου.
ἔχου· φυλάττου δ', ὡς σαπρὸν τὸ σχοινίον·
ὅμως γε μέντοι τριβόμενον οὐκ ἄχθεται.
ὁρᾷς δ', ἐγώ σ' ὡς δεξιῶς ὑφειλόμην,
μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας·
ὧν οὕνεκ' ἀπόδος τῷ πέει τῳδὶ χάριν.
ἀλλ' οὐκ ἀποδώσεις, οὐδὲ φιαλεῖς, οἶδ' ὅτι·
ἀλλ' ἐξαπατήσεις, κἀγχανεῖ τούτῳ μέγα·
πολλοῖς γὰρ ἤδη χ' ἀτέροις αὔτ' εἰργάσω.
ἐὰν γένῃ δὲ μὴ κακὴ νυνὶ γυνὴ,
ἐγώ σ', ἐπειδὰν οὑμὸς υἱὸς ἀποθάνῃ,
λυσάμενος, ἕξω παλλακὴν, ὦ χοιρίον.
νῦν δ' οὐ κρατῶ 'γὼ τῶν ἐμαυτοῦ χρημάτων.
νέος γάρ εἰμι, καὶ φυλάττομαι σφόδρα.
τὸ γὰρ υἱίδιον τηρεῖ με, κἄστι δύσκολον,
κἄλλως κυμινοπριστοκαρδαμογλύφον.
ταῦτ' οὖν περί μου δέδοικε, μὴ διαφθαρῶ.

Digitized by Google

πατὴρ γάρ οὐδείς ἐστιν αὐτῷ, πλὴν ἐμοῦ.
ὁδὶ δὲ καὐτὸς ἐπὶ σὲ κἀμ' ἔοικε θεῖν.
ἀλλ' ὡς τάχιστα στῆθι, τάσδε τὰς δετὰς
λαβοῦσ', ἵν' αὐτὸν τωθάσω νεανικῶς,
οἵως ποθ' οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων.

Βδ. ὦ οὗτος, οὗτος, στυφεδανὲ, καὶ χοιρόθλιψ,
ποθεῖν, ἐρᾷν τ' ἔοικας ὡραίας σοροῦ.
οὔ τοι καταπροίξει, μὰ τὸν 'Απόλλω, τοῦτο δρῶν.

Φι. ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην;

Βδ. οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
τῶν ξυμποτῶν κλέψαντα;

Φι. ποίαν αὐλητρίδα;
τί ταῦτα ληρεῖς, ὥσπερ ἀπὸ τύμβου πεσών;

Βδ. νὴ τὸν Δί', αὕτη πού 'στί σοί γ' ἡ Δαρδανίς.

Φι. οὔκ· ἀλλ' ἐν ἀγορᾷ τοῖς θεοῖς δᾲς καίεται.

Βδ. δᾲς ἥδε;

Φι. δᾲς δῆτ'. οὐχ ὁρᾷς ἐστιγμένην;

Βδ. τί δὲ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς τοὐν μέσῳ;

Φι. ἡ πίττα δήπου καομένης ἐξέρχεται.

Βδ. ὁ δ' ὄπισθεν, οὐχὶ πρωκτός ἐστιν οὑτοσί;

Φι. ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.

Βδ. τί λέγεις σύ; ποῖος ὄζος; οὐκ εἶ δεῦρο σύ;

Φι. ἆ, ἆ, τί μέλλεις δρᾷν;

Βδ. ἄγειν ταύτην λαβὼν
ἀφελόμενός σε, καὶ νομίσας εἶναι σαπρὸν,
κοὐδὲν δύνασθαι δρᾷν.

Φι. ἄκουσον νῦν ἐμοῦ.
'Ολυμπιάσι γὰρ ἡνίκ' ἐθεώρουν ἐγὼ,

Digitized by Google

par; nam præter me pater ei nullus est. Sed eccum illum, adversum te et me celerem videtur conferre gradum. Sed quamprimum consiste, his tedis sumtis, ut eum juveniliter ludos faciam, haud secus ac ille me olim, antequam initiarer.

BDEL. Heus tu, decrepite, et cunnitriba, desideras et videris amare formosam sandapilam. At ita me Apollo amet, ut tu istuc haud inultum feres.

PHIL. Quam lubenter comederes ex aceto litem!

BDEL. Nonne indignum est mihi illudere te, qui tibicinam convivis clam abduxisti?

PHIL. Quamnam tibicinam? quid ita ineptis, tanquam a tumulo delapsus?

BDEL. Pol eccam, opinor, ipsam, quæ tibi adstat Dardanis.

PHIL. Non: verum in foro teda diis uritur.

BDEL. Hæccine teda?

PHIL. Teda utique. Nonne vides variegatam?

BDEL. Quid vero nigrum hocce est ejus in medio?

PHIL. Pix nimirum ex ipsa ardente exsudat.

BDEL. Sed iste nonne podex est a tergo?

PHIL. Immo tedæ ramus hic eminet.

BDEL. Quid ais tu? quis ramus? tu vero nonne huc ibis?

PHIL. Ohe, ohe! quid facere cogitas?

BDEL. Hanc abducere ademtam tibi, ut qui te putem rancidum senem esse et nil potesse.

PHIL. Operam mihi da modo. Etenim ludos Olympicos quum spectarem ego, Ephudion pugnavit cum Asconda egre-

Digitized by Google

gie, senex jam: deinde pugno feriens prostravit juniorem. Proinde cave, ne suffusis cruore oculis sugillatisque abeas.

BDEL. Næ hercle Olympiam probe didicisti.

PAN. Age, per deos obsecro, assiste mihi. Iste enim homo est, qui me perdidit, teda pulsando, et excussit hinc panes decem singulos unius oboli, et alios quatuor sarcinæ impositos.

BDEL. Viden', quid feceris denuo? etiam lites paratæ sunt nobis propter tuam temulentiam.

PHIL. Minime, siquidem hæc component facetæ fabulæ. Quippe scio me huic reconciliatum iri.

PAN. Ita me sospitent Ceres et Proserpina, ut tu non impune illuseris Myrtiæ Ancylionis filiæ et Sostratæ, qui sic meas merces perditum iveris.

PHIL. Ausculta, mulier; fabulam tibi volo narrare lepidam.

PAN. Ne mihi quidem ecastor, ô fatue.

PHIL. Æsopum a cœna redeuntem vesperi audax et temulenta quædam adlatravit canis. Tum ille dixit: *O canis, canis, utique hercle, si pro mala lingua alicunde triticum emeres, sapere mihi videreris.*

PAN. Etiam derides me? In jus te voco, quisquis es, ad Æ-diles, ob datum mercibus meis damnum, testem habens Chærephontem istum.

Digitized by Google

'Εφουδίων ἐμαχέσατ' 'Ασκώνδᾳ καλῶς,
ἤδη γέρων ὤν· εἶτα τῇ πυγμῇ θένων
ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.
πρὸς ταῦτα τηροῦ μὴ λάβῃς ὑπώπια.
Βδ. νὴ τὸν Δί' ἐξέμαθές γε τὴν 'Ολυμπίαν.
Αρ. ἴθι, μοι παράστηθ', ἀντιβολῶ πρὸς τῶν θεῶν.
ὁδὶ γάρ ἐστιν ὅς μ' ἀνὴρ ἀπώλεσε,
τῇ δᾳδὶ παίων, κᾀξέβαλεν ἐντευθενὶ
ἄρτους δέκ' ὀβολῶν, κᾀπιθήκην τέτταρας.
Βδ. ὁρᾷς ἃ δέδρακας πράγματ' αὖ; δεῖ καὶ δίκας
ἔχειν διὰ τὸν σὸν οἶνον.
Φι. οὐδαμῶς γ', ἐπεὶ
λόγοι διαλλάξουσιν αὐτὰ δεξιοί·
ὥστ' οἶδ' ὁτιὴ ταύτῃ διαλλαχθήσομαι.
Αρ. οὔ τοι, μὰ τὼ θεώ, καταπροίξει Μυρτίας,
τῆς 'Αγκυλίωνος θυγατέρος καὶ Σωστράτης,
οὕτω διαφθείρας ἐμοῦ τὰ φορτία.
Φι. ἄκουσον, ὦ γύναι. λόγον σοι βούλομαι
λέξαι χαρίεντα.
Αρ. μὰ Δία, μή μοι γ', ὦ μέλε.
Φι. Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
κᾄπειτ' ἐκεῖνος εἶπεν· Ὦ κύον, κύον,
εἰ, νὴ Δί', ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκοῖς.
Αρ. καὶ καταγελᾷς μου; προσκαλοῦμαί σ', ὅστις εἶ,
πρὸς τοὺς 'Αγορανόμους βλάβης τῶν φορτίων,
κλητῆρ' ἔχουσα Χαιρεφῶντα τουτονί.

Digitized by Google

Φι. μὰ Δί' ἀλλ' ἄκουσον, ἤν τι σοι δόξω λέγειν.
Λᾶσός ποτ' ἀντεδίδασκε καὶ Σιμωνίδης.
ἔπειθ' ὁ Λᾶσος εἶπεν ΟΛΙΓΟΝ ΜΟΙ ΜΕΛΕΙ.
Αρ. ἀληθὲς, οὗτος;
Φι. καὶ σὺ δή μοι, Χαιρεφῶν,
γυναικὶ κλητεύειν ἔοικας θαψίνῃ,
Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου.
Βδ. ὁδί τις ἕτερος, ὡς ἔοικεν, ἔρχεται
καλούμενός σε· τόν γε τοι κλητῆρ' ἔχει.
Κα. οἴμοι κακοδαίμων. προσκαλοῦμαί σ', ὦ γέρον,
ὕβρεως.
Βδ. ὕβρεως; μὴ, μὴ καλέσῃς, πρὸς τῶν θεῶν.
ἐγὼ γὰρ ὑπὲρ αὐτοῦ δίκην δίδωμί σοι,
ἣν ἂν σὺ τάξῃς, καὶ χάριν προσείσομαι.
Φι. ἐγὼ μὲν οὖν αὐτῷ διαλλαχθήσομαι
ἑκών· ὁμολογῶ γὰρ πατάξαι καὶ βαλεῖν.
ἀλλ' ἐλθὲ δευρὶ πρότερον. ἐπιτρέπεις ἐμοὶ,
ὅ τι χρή μ' ἀποτίσαντ' ἀργύριον τοῦ πράγματος,
εἶναι φίλον τολοιπὸν, ἢ σύ μοι φράσεις;
Κα. σὺ λέγε. δικῶν γὰρ οὐ δέομ', οὐδὲ πραγμάτων.
Φι. ἀνὴρ Συβαρίτης ἐξέπεσεν ἐξ ἅρματος,
καί πως κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα·
ἐτύγχανεν γὰρ οὐ τρίβων τῆς ἱππικῆς.
κἄπειτ' ἐπιστὰς εἶπ' ἀνὴρ αὐτῷ φίλος·
Ἕρδοι τις, ἣν ἕκαστος ἂν εἰδείη τέχνην.---
οὕτω δὲ καὶ σὺ παράτρεχ' εἰς τὰ Πιττάλου.
Βδ. ὅμοιά σου καὶ ταῦτα τοῖς ἄλλοις τρόποις.
Κα. ἀλλ' οὖν σὺ μέμνησ' αὐτὸς οἷ' ἀπεκρίνατο.

Digitized by Google

Phil. Quin hercle potius auscultas, si quid tibi dicere videbor? Lasus olim et Simonides carmine certabant: tum dixit Lasus; *Nihil moror.*

Pan. Eho, siccine vero?

Phil. At tu, Chærephon, testis adesse mihi videris mulieri buxeæ, Inoni pendenti ad pedes Euripidis.

Bdel. Sed eccum alium virum, qui, ut videtur, huc venit et citaturus: viatorem utique secum ducit.

Acc. O me infelicem! Postulo te, ô senex injuriarum.

Bdel. Injuriarum? ne, per deos obsecro, ne cites eum: ego enim pro illo pœnam tibi persolvam, quamcunque statueris, et gratiam insuper habeo.

Phil. Equidem eum ipso in gratiam redibo ultro. Fateor enim eum a me verberatum, et lapidibus impetitum fuisse. Sed accede huc prius: permittisne meo arbitrio, ut quanti injuriam æstimavero, tantum tibi argenti pendam, et amicus deinceps tuus sim, an ipse indicabis, quantum tibi dari velis?

Acc. Dic tu modo; nam lites fugito, otiumque sector.

Phil. Sybarita quidam de curru deciderat, et grave vulnus acceperat capite; etenim peritus non erat equestris rei: tum quidam ex amicis superveniens dixit ei: *Quam quisque norit artem, in hac se exerceat.* Sic tu quoque curre ad Pittalum.

Bdel. Similia hæc etiam sunt reliquis tuis moribus.

Acc. Saltem tu memento quem ad modum ille respondit.

Digitized by Google

Phil. Audi, ne fuge. In Sybari mulier olim fregerat echinum—

Acc. Hujus etiam dicti testem te esse volo.

Phil. Echinus ille vero teste quodam adhibito in jus vocabat mulierem Sybaritidem; tum illa dixit: *Ita me Proserpina amet, si omissa hac contestatione, celeriter fasciam emisses, saperes magis.*

Acc. Illude, usquedum Archon litem hanc introduci jubeat.

Bdel. Ita me Ceres amet, ut tu non amplius hic manebis: sed sublimem medium ego te arreptum—

Phil. Quid agis?

Bdel. Quid agam? fero te hinc intro. Sin minus, testes deficient illos tam multos qui te in jus vocaturi sunt.

Phil. Æsopum quondam cives Delphici.

Bdel. *Nihil moror.*

Phil. Furatum esse phialam insimulabant Apollinis: at ille narravit eis, ut olim scarabæus---

Bdel. Vah! enecas me cum tuis scarabæis---

Chor. Laudo fortunas tuas, ô senex. En quo pervenit ex arida illa et aspera vivendi ratione! alia jam pro illis edoctus, utique deliciis mollitieque indulgebit plurimum. Sed forte nolet: nam recedere difficile est ab ingenio, quo semper quis fuit: quamvis multis id accidit, ut aliorum consiliis utentes

Digitized by Google

Φι. ἄκουε, μὴ φεῦγ'. ἐν Συβάρει γυνή ποτε
κατέαξ' ἐχῖνον- - -

Κα. ταῦτ' ἐγὼ μαρτύρομαι.

Φι. οὐχῖνος οὖν ἔχων τιν' ἐπεμαρτύρατο.
εἶθ' ἡ Συβαρῖτις εἶπεν· Εἰ, ναὶ τὰν κόραν,
τὴν μαρτυρίαν ταύτην ἐάσας, ἐν τάχει
ἐπίδεσμον ἐπρίω, νοῦν ἂν εἶχες πλείονα.

Κα. ὕβριζ', ἕως ἂν τὴν δίκην ἄρχων καλῇ.

Βδ. οὔ τοι, μὰ τὴν Δήμητρ', ἔτ' ἐνταυθοῖ μενεῖς.
ἀλλ' ἀράμενος ἔγωγε - - -

Φι. τί ποιεῖς;

Βδ. ὅ τι ποιῶ;
εἴσω φέρω σ' ἐντεῦθεν· εἰ δὲ μή, τάχα
κλητῆρες ἐπιλείψουσι τοὺς καλουμένους.

Φι. Αἴσωπον οἱ Δελφοί ποτ' - - -

Βδ. ΟΛΙΓΟΝ ΜΟΙ ΜΕΛΕΙ.

Φι. φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ.
ὁ δ' ἔλεξεν αὐτοῖς, ὡς ὁ κάνθαρός ποτε - - -

Βδ. οἴμ', ὡς ἀπολεῖς αὐτοῖσι τοῖσι κανθάροις.

Χο. ζηλῶ σε τῆς εὐτυχίας,
τὸν πρέσβυν, οἷ μετέστη
ξηρῶν τρόπων καὶ βιοτῆς·
ἕτερα δὲ νῦν ἀντιμαθὼν,
ἦ μέγα τι πείσεται
τρυφερόν τε καὶ μαλακόν.
τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι.
τὸ γὰρ ἀποστῆναι χαλεπὸν
φύσεος, ἣν ἔχει τις ἀεί.

Digitized by Google

καί τοι πολλοὶ ταὐτ' ἔπαθον·
ξυνόντες γνώμαις ἑτέρων
μετεβάλοντο τοὺς τρόπους.
πολλοῦ δ' ἐπαίνου παρ' ἐμοὶ,
καὶ τοῖσιν εὖ φρονοῦσι,
τυχὼν ἄπεισιν, διὰ τὴν
φιλοπατρίαν καὶ σοφίαν
παῖς Φιλοκλέωνος. οὐ-
δενὶ γὰρ οὕτως ἀγανῷ
ξυνεγενόμην, οὐδὲ τρόποις
ἐπεμάνην, οὐδ' ἐξεχύθην.
τί γὰρ ἐκεῖνος ἀντιλέγων
οὐ κρείττων ἦν, βουλόμενος
τοὺς φύσαντας σεμνοτέροις
κατακοσμῆσαι πράγμασι;

ΞΑΝΘΙΑΣ, ΦΙΛΟΚΛΕΩΝ, ΒΔΕΛΥΚΛΕΩΝ, ΧΟΡΟΣ.

Ξα. ΝΗ τὸν Διόνυσον, ἄπορά γ' ἡμῖν πράγματα
δαίμων τις εἰσκεκύκληκεν εἰς τὴν οἰκίαν.
ὁ γὰρ γέρων, ὡς ἔπιε διὰ πολλοῦ χρόνου,
ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι,
ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται
τἀρχαῖ' ἐκεῖν', οἷς Θέσπις ἠγωνίζετο·
καὶ τοὺς τραγῳδούς φησιν ἀποδείξειν κρόνους
τοὺς νῦν, διορχησάμενος ὀλίγον ὕστερον.

Φι. τίς ἐπ' αὐλείοισι θύραις θάσσει;

Ξα. τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.

mutaverint mores. Multam vero laudem, meo sapientumque judicio, reportabit ob suam erga patrem pietatem, et solertiam, Philocleonis gnatus. In nullum enim tam comem incidi, nec ullius mores ita deamavi, nec unquam tam effuse lætatus sum. Quid enim ille adversum patrem dixit, in quo non vicerit, cupiens parentes honestioribus ornare studiis?

XANTHIA, PHILOCLEO, BDELYCLEO, CHORUS.

Xanth. Res turbidas et intricatas, ita me Bacchus amet, in ædes nostras aliquis deus invexit. Senex enim noster, ut diu multumque potavit, tibiamque audiit, lætitia perfusus, totam noctem saltationes illas antiquas continuat, quibus certavit Thespis in choris, seque ait mox saltando ostensurum, Tragicos, qui nunc sunt, fatuos et insulsos esse.

Phil. Quis vestibuli sedet in foribus?

Xanth. Hoc malum jam procedit.

Digitized by Google

Phil. Claustra laxentur ista: namque jam initur saltationis exordium---

(Xanth. Quin potius forte furoris exordium.)

Phil. Quæ latera magna vi torquet. En ut naris mugit, et vertebra sonat!

Xanth. Bibe helleborum.

Phil. Ferit Phrynichus, ut gallus---

(Xanth. Ni caveam, calcibus me feries.)

Phil. Vibratis in altum calcibus micans: hiat podex.

Xanth. Quo in loco te moveas vide.

Phil. Nunc enim in nostris artubus vertitur laxum acetabulum.

Bdel. Nihil hercle boni, nil profecto; sed furor hic quidem est.

Phil. Age nunc edicam et provocem, qui mecum certent. Si quis tragœdus autumat se scite saltare, huc accedat mecum decertaturus saltatione. Ait quis, an nemo?

Bdel. Unus iste solus.

Phil. Quis ille est infelix?

Bdel. Filius Carcini medius.

Phil. At iste absorbebitur: nam ipsum perimam impactis in numerum pugnis: est enim rhythmi prorsus imperitus.

Bdel. Sed, ô miser, alius tragœdus Carcinita venit, illius frater.

Digitized by Google

Φι. κλῇθρα χαλάσθω τάδε. καὶ γὰρ δὴ
σχήματος ἀρχὴ - - -
Ξα. μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.
Φι. πλευρὰν λυγίσαντος ὑπὸ ῥώμης,
οἷον μυκτὴρ μυκᾶται, καὶ
σφόνδυλος ἀχεῖ - - -
Ξα. πῖθ' ἐλλέβορον.
Φι. πτήσσει Φρύνιχος, ὥς τις ἀλέκτωρ, - - -
Ξα. τάχα βαλλήσεις.
Φι. σκέλος οὐράνιόν γ' ἐκλακτίζων.
πρωκτὸς χάσκει.
Ξα. κατὰ σαυτὸν ὅρα.
Φι. νῦν γὰρ ἐν ἄρθροις τοῖς ἡμετέροις
στρέφεται χαλαρὰ κοτυληδών.
Βδ. οὐκ εὖ, μὰ Δί' οὐ δῆτ', ἀλλὰ μανικὰ πράγματα.
Φι. φέρε νῦν ἀνείπω, κἀνταγωνιστὰς καλῶ.
εἴ τις τραγῳδός φησιν ὀρχεῖσθαι καλῶς,
ἐμοὶ διορχησόμενος ἐνθάδ' εἰσίτω.
φησίν τις, ἢ οὐδείς;
Βδ. εἷς γ' ἐκεινοσὶ μόνος.
Φι. τίς ὁ κακοδαίμων ἐστίν;
Βδ. υἱὸς Καρκίνου
ὁ μέσατος.
Φι. ἀλλ' οὗτός γε καταποθήσεται·
ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
ἐν τῷ ῥυθμῷ γὰρ οὐδὲν ἐστ'.
Βδ. ἀλλ' ᾦ'ζυρὲ,
ἕτερος τραγῳδὸς Καρκινίτης ἔρχεται,

Digitized by Google

ἀδελφὸς αὐτοῦ.

Φι. νὴ Δί᾽ ἀψώνηκ᾽ ἄρα.

Βδ. μὰ τὸν Δί᾽ οὐδέν γ᾽ ἄλλο, πλήν γε καρκίνους.
προσέρχεται γὰρ ἕτερος αὖ τῶν Καρκίνου.

Φι. τουτὶ τί ἦν τὸ προσέρπον; ὀξὶς, ἢ φάλαγξ;

Βδ. ὁ πιννοτήρης οὗτός ἐστι τοῦ γένους,
ὁ σμικρότατος, ὃς τὴν τραγῳδίαν ποιεῖ.

Φι. ὦ Καρκίν᾽, ὦ μακάριε τῆς εὐπαιδίας·
ὅσον τὸ πλῆθος κατέπεσεν τῶν ὀρχίλων.
ἀτὰρ καταβατέον γ᾽ ἐπ᾽ αὐτοὺς, ᾧ ᾿ζυρέ.
ἅλμην κύκα τούτοισιν, ἢν ἐγὼ κρατῶ.

Χο. φέρε νῦν ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες,
ἵν᾽ ἐφ᾽ ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς.

Ημ. ἄγ᾽ ὦ μεγαλώνυμα
τέκνα τοῦ θαλασσίου,
πηδᾶτε παρὰ ψάμαθον,
καὶ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο,
καρίδων ἀδελφοί·
ταχὺν πόδ᾽ ἐν κύκλῳ σοβεῖτε,
καὶ τὸ Φρυνίχειον
ἐκλακτισάτω τις, ὅπως
ἰδόντες ἄνω σκέλος,
ὤζωσιν οἱ θεαταί.

Ημ. στόβει, παράβαινε κύκλῳ,
καὶ γάστρισον σεαυτὸν,
ῥίπτε σκέλος οὐράνιον·
βέμβικες ἐγγενέσθων.
καὐτὸς γὰρ ὁ ποντομέδων

Digitized by Google

PHIL. Edepol ergo obsonatus sum.

BDEL. Nihil hercle aliud, quam carcinos: nam accedit alius etiam filiorum Carcini.

PHIL. Quid hoc rei est, quod adrepit? acetabulumne an araneus?

BDEL. Pinnoteres iste est in hac familia, minimus natu, qui tragœdiam facit.

PHIL. O Carcine, ô felix liberorum prole! quanta multitudo decidit orchilorum! Sed in certamen contra eos descendendum est, ô miser. Muriam misce istis, si vicero.

CHOR. Agedum nos omnes paulum concedamus illis, ut libere ante nos turbinis instar versent se ipsos.

SEM. Agite, ô celeberrimi filii patris marini, saltate juxta arenam et litus maris sterilis, squillarum fratres. Velocem pedem agitate in orbem, et in morem Phrynichi calces quis vibret, ut videntes crura sursum jactata, cum admiratione exclament spectatores.

SEM. Versa te ipsum, duc gyros, ventrem tuum feri, jacta crus sublime, turbines fiant. Etenim ipse quoque adserpit pa-

Digitized by Google

ter istorum, regnator maris, lætus filiis suis, tribus saltatorib bene peculiatis. Sed, si libenter saltatis, educite nos quan primum foras: hoc enim antehac nemo periclitatus est, salta tem ut dimitteret comicorum chorum.

Digitized by Google

ἄναξ πατὴρ προσέρπει,
ἡσθεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισὶ, τοῖσι τριόρχαις.
ἀλλ' ἐξάγετ', εἴ τι φιλεῖτ' ὀρχούμενοι, θύραζε
ἡμᾶς ταχύ· τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν,
ὀρχούμενου ὅστις ἀπήλλαξεν χορὸν τρυγῳδῶν.

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΙΠΠΗΣ.

Digitized by Google

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΗΜΟΣΘΕΝΗΣ.

ΝΙΚΙΑΣ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ, οὗ ὄνομα ΑΓΟΡΑΚΡΙΤΟΣ.

ΚΛΕΩΝ.

ΧΟΡΟΣ ΙΠΠΕΩΝ.

ΔΗΜΟΣ.

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

Ι Π Π Η Σ.

ΔΗΜΟΣΘΕΝΗΣ, ΝΙΚΙΑΣ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΚΛΕΩΝ, ΧΟΡΟΣ.

Δη. ΙΑΤΤΑΤΑΙΑΞ τῶν κακῶν, ἰατταταί.
κακῶς Παφλαγόνα, τὸν νεώνητον κακὸν
αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
ἐξ οὗ γὰρ εἰσήῤῥησεν εἰς τὴν οἰκίαν,
πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.
Νι. κάκιστα δῆθ' οὗτός γε πρῶτος Παφλαγόνων,
αὐταῖς διαβολαῖς.
Δη. ὦ κακόδαιμον, πῶς ἔχεις;
Νι. κακῶς, καθάπερ σύ.
Δη. δεῦρό νυν πρόσελθ', ἵνα
ξυναυλίαν πενθήσομεν, Ὀλύμπου νόμον.
Νι. μῦ μῦ, μῦ μῦ, μῦ μῦ, μῦ μῦ, μῦ μῦ, μῦ μῦ.

Digitized by Google

ARISTOPHANIS
EQUITES.

DEMOSTHENES, NICIAS, ISICIARIUS,
CLEO, CHORUS.

Dem. Iattatæax! hem mala! Iattatæ! Qui illum Paphlagonem, recens emtum malum, male dii perdant cum ejus consiliis! Ex quo enim in hanc domum se malis intulit avibus, plagas assidue infligit servis.

Nic. Pessime hercle pereat primarius iste Paphlago cum suis calumniis!

Dem. Infelix, quomod te habes?

Nic. Male, sicut et tu.

Dem. Agedum huc ades, ut lamenta misceamus, Olympi flebiles imitati modos.

Nic. Mu mu, mu mu, mu mu, mu mu, mu mu, mu mu.

Digitized by Google

Dem. Quid lamentamur frustra? nonne oportebat nos quærere aliquam salutem nobis, et non flere amplius?

Nic. Quænam igitur evenire nobis possit salus? dic tu.

Dem. Quin tu dic mihi, ut ne tecum contendam.

Nic. Equidem, ita me amabit Apollo, prior non dixerim. Sed dic audacter; deinde dicam etiam tibi.

Dem. *Utinam mihi diceres, quæ me dicere oportet!*

Nic. Sed mihi non inest confidentia barbara. Quo tandem modo dicam hoc scite, et Euripideo more?

Dem. Apage: ne scandicem mihi obtrudas: sed inveni aliquam cantilenam recessus ab hero.

Nic. Dic ergo continenter *fugiamus.*

Dem. Age, dico *fugiamus.*

Nic. Nunc subjunge *trans* isti *fugiamus.*

Dem. *Trans.*

Nic. Optime. Quasi masturbares, nunc primo sensim dic *fugiamus*: deinde frequenter, subjuncto *trans.*

Dem. *Fugiamus trans fugiamus transfugiamus.*

Nic. Hem, nonne jucundum est?

Dem. Sane hercle, ut dicis: sed cuti hoc omen timeo.

Nic. Quid ita?

Digitized by Google

Δη. τί κινυρόμεσθ' ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινὰ
σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
Νι. τίς οὖν γένοιτ' ἄν; λέγε σύ.
Δη. σὺ μὲν οὖν μοι λέγε,
ἵνα μὴ μάχωμαι.
Νι. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔκ.
ἀλλ' εἰπὲ θαρρῶν, εἶτα κἀγώ σοι φράσω.
Δη. ΠΩΣ ΑΝ ΣΥ ΜΟΙ ΛΕΞΕΙΑΣ Α ΜΕ ΧΡΗ ΛΕΓΕΙΝ;
Νι. ἀλλ' οὐκ ἔνι μοι τὸ ΘΡΕΥΤΤΕ. πῶς ἂν οὖν ποτε
εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπικῶς;
Δη. μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς·
ἀλλ' εὑρέ τιν' ἀπόκινον ἀπὸ τοῦ δεσπότου.
Νι. λέγε δὴ ΜΟΛΩΜΕΝ ξυνεχὲς ὡδὶ ξυλλαβών.
Δη. καὶ δὴ λέγω· ΜΟΛΩΜΕΝ.
Νι. ἐξόπισθε νῦν
ΑΥΤΟ φάθι τοῦ ΜΟΛΩΜΕΝ.
Δη. ΑΥΤΟ.
Νι. πάνυ καλῶς.
ὥσπερ δεφόμενος νῦν ἀτρέμα πρῶτον λέγε
τὸ ΜΟΛΩΜΕΝ, εἶτα δ' ΑΥΤΟ, κᾆτ' ἐπάγων πυκνόν.
Δη. ΜΟΛΩΜΕΝ ΑΥΤΟ ΜΟΛΩΜΕΝ ΑΥΤΟΜΟΛΩΜΕΝ.
Νι. ἦν,
οὐχ ἡδύ;
Δη. νὴ Δία· πλήν γε περὶ τῷ δέρματι
δέδοικα τουτονὶ τὸν οἰωνόν.
Νι. τί δαί;

Digitized by Google

Δη. τὸ δέρμ' ὁτιὴ τῶν δεφομένων ἀπέρχεται.
Νι. κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν,
θεῶν ἰόντε προσπεσεῖν ποι πρὸς βρέτας.
Δη. βρέτας; ποῖον βρέτας; ἐτεὸν ἡγεῖ γὰρ θεούς;
Νι. ἔγωγε.
Δη. ποίῳ χρώμενος τεκμηρίῳ;
Νι. ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ' οὐκ εἰκότως.
Δη. εὖ προσβιβάζεις μ'.
Νι. ἀλλ' ἑτέρᾳ ποι σκεπτέον.
Δη. βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσιν φράσω;
Νι. οὐ χεῖρον· ἓν δ' αὐτοὺς παραιτησώμεθα,
ἐπίδηλον ἡμῖν τοῖς προσώποισιν ποιεῖν,
ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασι.
Δη. λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
ἄγροικος ὀργὴν, κυαμοτρὼξ, ἀκράχολος,
Δῆμος Πνυκίτης, δύσκολον γερόντιον,
ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα,
πανουργότατον, καὶ διαβολώτατόν τινα.
οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,
ὁ βυρσοπαφλαγὼν, ὑποπεσὼν τὸν δεσπότην,
ἤκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα
κοσκυλματίοις ἄκροισι, τοιαυτὶ λέγων·
Ὦ Δῆμε, λοῦσαι πρῶτον ἐκδικάσας μίαν,
ἔνθου, ῥόφησον, ἔντραγ', ἔχε τριώβολον.
βούλει παραθῶ σοι δόρπον; --- εἶτ' ἀναρπάσας
ὅ τι ἄν τις ἡμῶν σκευάσῃ, τῷ δεσπότῃ
Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ' ἐμοῦ

Digitized by Google

DEM. Quia cutis abscedit masturbantibus.

NIC. Optimum igitur nobis est pro præsenti rerum statu, ut supplices accidamus ad cujusvis signum dei.

DEM. *Signum?* quale signum? Quæso enim, putasne esse deos?

NIC. Ego quidem.

DEM. Quonam vero edoctus argumento?

NIC. Quia diis invisus sum immerito meo.

DEM. Facile me adducis in tuam sententiam.

NIC. Sed dispiciamus aliam rationem.

DEM. Vin' ut rem omnem spectatoribus enarrem?

NIC. Non abs re fuerit: sed unum hoc eos rogemus, manifestum ut nobis vultu faciant, an sermonibus nostris et rebus delectentur.

DEM. Jam eloquar. Nobis est herus feris moribus, fabas esitans, cerebrosus, *Demus* Pnycensis, morosus seniculus, surdaster. Iste superiore novilunio emit servum, coriarium Paphlagonem, vaferrimum, calumniatorem pessimum. Ille, perspecto senis ingenio, coriarius Paphlago, canis in modum hero se submittens, blandiri, suppalpari, adulari cœpit, eumque decipere, oblatis præsegminibus coriorum minutis, hæc dicens: *O Deme, i lavatum, ubi prius unam litem dijudicaveris: sume offam, sorbe, jenta, cape triobolum: vin' ut cœnam tibi anteponam?* Deinde abripiens quodcunque nostrûm quispiam paraverit, hero illud largitur Paphlago. Nuper etiam quum ei

Digitized by Google

mazam pinsuissem in Pylo Laconicam, vaferrimo nescio quo me modo circumvenit, surreptamque ipsus adposuit hero, quam ego pinsueram. Nos autem abigit, nec sinit ut herum alius colat: sed coriaceum flabellum tenens, cœnanti adstat hero, et rhetoras arcet; canitque oracula: inde senex intentam Sibyllis habet mentem: ille vero ubi eum videt studio jam stupidum, opus adgreditur. Nam familiares aperte falsis criminibus accusat: deinde flagris cædimur nos. Ipse vero Paphlago circumcursitat famulos, petit, turbat, munera captat, hæc dicens: *Videtis, ut Hylas propter me flagris cæditur? nisi me placaveritis, hodie moriemini.* Nos vero illi damus: sin aliter, conculcati a sene octuplum cacamus. Nunc itaque diligenter consideremus, ô bone, quamnam viam insistere, et ad quemnam nos convertere debeamus.

Nic. Optima fuerit, ô bone, via, quam dixi, illa, *fugiamus.*

Dem. Sed nihil clam Paphlagone fieri potest: nam ipsemet omnia inspectat. Habet enim crus alterum in Pylo, alterum in concione. Cruribus itaque ejus tanto intervallo divaricatis, culus reapse est in *Hiantia*: manus utraque in *Petitia*: mens vero in *Clepidum* tribu.

Nic. Mori itaque optimum erit nobis: sed vide ut moriamur quam maxime viriliter.

Dem Qui, quæso? qui possimus quam maxime viriliter?

Digitized by Google

μάζαν μεμαχότος ἐν Πύλῳ Λακωνικὴν,
πανουργότατά πως περιδραμὼν, ὑφαρπάσας,
αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ἡμᾶς δ' ἀπελαύνει, κοὐκ ἐᾷ τὸν δεσπότην
ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων,
δειπνοῦντος, ἑστὼς ἀποσοβεῖ τοὺς ῥήτορας.
ᾄδει δὲ χρησμούς· εἶθ' ὁ γέρων σιβυλλιᾷ.
ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα,
τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἄντικρυς
ψευδῆ διαβάλλει· κᾆτα μαστιγούμεθα
ἡμεῖς· Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας
αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων ταδί·
'Ορᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον;
εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε τήμερον.---
ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μὴ, πατούμενοι
ὑπὸ τοῦ γέροντος ὀκταπλάσιον χέζομεν.
νῦν οὖν ἀνύσαντες φροντίσωμεν, ὦ 'γαθὲ,
ποίαν ὁδὸν νῷν τρεπτέον, καὶ πρὸς τίνα.
Νι. κράτιστ' ἐκείνην, τὴν ΜΟΛΩΜΕΝ, ὦ 'γαθέ.
Δη. ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν·
ἐφορᾷ γὰρ αὐτὸς πάντ'. ἔχει γὰρ τὸ σκέλος
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τῇ 'κκλησίᾳ.
τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος,
ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσι·
τὼ χεῖρ' ἐν Αἰτωλοῖς· ὁ δὲ νοῦς ἐν Κλωπιδῶν.
Νι. κράτιστον οὖν νῷν ἀποθανεῖν. ἀλλὰ σκόπει,
ὅπως ἂν ἀποθάνοιμεν ἀνδρικώτατα.
Δη. πῶς δῆτα; πῶς γένοιτ' ἂν ἀνδρικώτατα;

Digitized by Google

Νι. βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν.
ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.
Δη. μὰ Δί', ἀλλ' ἄκρατον οἶνον Ἀγαθοῦ Δαίμονος.
ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.
Νι. ἰδού γ' ἄκρατον. περὶ ποτοῦ γοῦν ἐστί σοι;
πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;
Δη. ἄληθες, οὗτος; κρουνοχυτρολήραιον εἶ.
οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν.
οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ,
τὸν νοῦν ἵν' ἄρδω, καὶ λέγω τι δεξιόν.
Νι. οἴμοι τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ ποτῷ;
Δη. ἀγάθ'· ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήσομαι.
ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω
βουλευματίων, καὶ γνωμιδίων, καὶ νοϊδίων.
Νι. ὡς εὐτυχῶς, ὅτι οὐκ ἐλήφθην, ἔνδοθεν
κλέπτων τὸν οἶνον.
Δη. εἰπ' ἐμοὶ, Παφλαγὼν τί δρᾷ;
Νι. ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος
ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.
Δη. ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολύν.
Νι. σπονδὴν λαβὲ δὴ, καὶ σπεῖσον, Ἀγαθοῦ Δαίμονος·
ἕλχ', ἕλκε τὴν τοῦ Δαίμονος τοῦ Πραμνίου.
Δη. ὦ Δαῖμον Ἀγαθὲ, σὸν τὸ βούλευμ', οὐκ ἐμόν.
Νι. εἴπ', ἀντιβολῶ, τί ἐστι;

Digitized by Google

Nic. Optimum est nobis taurinum potare sanguinem: nam Themistoclis letum maxime expetendum est.

Dem. Non hercle sanguinem, sed merum Boni Geni. Forte enim utile quid excogitaverimus.

Nic. Ecce vero *merum!* Ergone de potu tibi agitur? qui vero utile quid excogitaverit homo temulentus?

Dem. Itane, ô stulte, ineptis, aqua te ingurgitans? audesne vinum calumniari, ut acuendæ menti minus idoneum? possisne vero quidpiam vino invenire efficacius? quum potant homines, tunc ditescunt, negotia peragunt, vincunt lites, beati fiunt, prosunt amicis. Sed effer mihi cito vini congium, mentem ut irrigem, et dicam lepidum quiddam.

Nic. Hei mihi! quid nobis facies cum tuo potu?

Dem. Bona. Sed affer: ego vero decumbam. Si enim inebriatus fuero, omnia ista conspergam consiliolis, sententiolis, et ratiunculis.

Nic. O factum bene, quod deprehensus non fui, quum vinum intus furarer!

Dem. Dic mihi, quid facit Paphlago?

Nic. Postquam liguriit publicatos cibos mola conspersos, improbus ille stertit ebrius, in coriis supinus jacens.

Dem. Agesis infunde mihi jam vinum largiter.

Nic. Cape jam libamen, et liba Bono Genio: trahe, trahe potionem Geni Pramnii.

Dem. O Bone Geni, tuum est hoc consilium, non meum.

Nic. Dic, obsecro, quid est?

Digitized by Google

DEM. Oracula cito Paphlagonis clam effer domo, dum dormit.

NIC. At hæc Geni consilia vereor ne *mali* esse deprehendam.

DEM. Agedum ipsemet mihi admovebo congium, ut mentem irrigem, et dicam lepidum quiddam.

NIC. Quam valde Paphlago stertit et pedit! Proinde facile clam eo sacrum illud oraculum abstuli, quod ipse maxima custodiebat cura.

DEM. O solertissime, cedo illud, ut legam. Tu vero propere vinum infunde. Age videam quidnam hic insit. O vaticinia! da mihi poculum cito.

NIC. Eccum. Quid ait oraculum?

DEM. Aliud infunde.

NIC. Estne in vaticiniis istuc *Aliud infunde?*

DEM. O Bacis!

NIC. Quid rei est?

DEM. Da mihi poculum cito.

NIC. Sæpiuscule, opinor, Bacis usus est poculo.

DEM. O impure Paphlago, ergone ideo cavebas dudum, fordimans istud, quod de te editum est, oraculum?

NIC. Quidum?

DEM. Hic exstat, quo pacto ipse pereat.

NIC. Quonam vero?

DEM. Quonam? Oraculum planissime dicit, ut primo exsistat stuparum venditor, qui primus rempublicam tenebit.

Digitized by Google

Δη. τοὺς χρησμοὺς ταχὺ
κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν,
ἕως καθεύδει.
Νι. ταῦτ' ἀτὰρ τοῦ δαίμονος
δέδοιχ' ὅπως μὴ τεύξομαι κακοδαίμονος.
Δη. φέρε νυν ἐγὼ 'μαυτῷ προσαγάγω τὸν χοᾶ,
τὸν νοῦν ἵν' ἄρδω, καὶ λέγω τι δεξιόν.
Νι. ὡς μεγάλ' ὁ Παφλαγὼν ῥέγκεται καὶ πέρδεται,
ὥστ' ἔλαθον αὐτὸν, τὸν ἱερὸν χρησμὸν λαβὼν,
ὅνπερ μάλιστ' ἐφύλαττεν.
Δη. ὦ σοφώτατε,
φέρ' αὐτὸν, ἵν' ἀναγνῶ· σὺ δ' ἔγχεον πιεῖν
ἀνύσας τι. φέρ' ἴδω, τί ἄρ' ἔνεστιν αὐτόθι.
ὦ λόγια. δός σύ μοι τὸ ποτήριον ταχύ.
Νι. ἰδού· τί φησιν ὁ χρησμός;
Δη. ἑτέραν ἔγχεον.
Νι. ἐν τοῖς λογίοις ἔνεστιν ΕΤΕΡΑΝ ΕΓΧΕΟΝ;
Δη. ὦ Βάκι.
Νι. τί ἐστι;
Δη. δὸς τὸ ποτήριον ταχύ.
Νι. πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρίῳ.
Δη. ὦ μιαρὲ Παφλαγὼν, ταῦτ' ἄρ' ἐφυλάττου πάλαι,
τὸν περὶ σεαυτοῦ χρησμὸν ὀῤῥωδῶν;
Νι. τιή;
Δη. ἐνταῦθ' ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.
Νι. καὶ πῶς;
Δη. ὅπως; ὁ χρησμὸς ἄντικρυς λέγει,
ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται,

Digitized by Google

ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.
Νι. εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.
Δη. μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
Νι. δύο τώδε πώλα. καὶ τί τοῦτον χρὴ παθεῖν;
Δη. κρατεῖν, ἕως ἂν ἕτερος ἀνὴρ βδελυρώτερος
αὐτοῦ γένηται· μετὰ δὲ ταῦτ' ἀπόλλυται.
ἐπιγίγνεται γὰρ βυρσοπώλης ὁ Παφλαγὼν,
ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.
Νι. τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
ὑπὸ βυρσοπώλου;
Δη. νὴ Δί'.
Νι. οἴμοι δείλαιος.
πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;
Δη. ἔτ' ἐστὶν εἷς, ὑπερφυᾶ τέχνην ἔχων.
Νι. εἴπ', ἀντιβολῶ, τίς ἐστιν;
Δη. εἴπω;
Νι. νὴ Δία.
Δη. ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξολῶν.
Νι. ἀλλαντοπώλης; ὦ Πόσειδον, τῆς τέχνης.
φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;
Δη. ζητῶμεν αὐτόν.
Νι. ἀλλ' ὁδὶ προσέρχεται,
ὥσπερ κατὰ θεῖον, εἰς ἀγοράν.
Δη. ὦ μακάριε
ἀλλαντοπῶλα, δεῦρο, δεῦρ', ὦ φίλτατε,
ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.
Αλ. τί ἐστι; τί με καλεῖτε;
Δη. δεῦρ' ἔλθ', ἵνα πύθῃ,

Digitized by Google

Nic. Unus jam iste est venditor. Quid posthæc? memora.

Dem. Post hunc rursus pecudum alius venditor.

Nic. Duo isti jam sunt venditores. Et quid huic accidere oportet?

Dem. Ut dominetur, usquedum alius homo sceleratior ipso exoriatur: postea perit. Succedit enim coriorum venditor Paphlago, rapax, clamosus, Cyclobori vocem habens.

Nic. Interimendus ergo erat pecudum venditor a coriorum venditore?

Dem. Ita hercle.

Nic. Væ misero mihi! undenam gentium unus adhuc exsistet venditor?

Dem. Adhuc est unus mirificam artem habens.

Nic. Dic, obsecro, quis est?

Dem. Dicamne?

Nic. Sane hercle.

Dem. Isiciorum venditor est, qui hunc perdet.

Nic. Isiciorum venditor? Insignem vero artem, ô Neptune! age, ubi istum inveniemus virum?

Dem. Quæramus eum.

Nic. Sed eccum ultro accedit ad forum, non sine numine.

Dem. O beate isiciorum venditor, ades, ades, carissime, ascende, qui civitati et nobis servator huc prodiisti.

Is. Quid est? cur me vocatis?

Dem. Huc ades, ut audias, quam sis felix et valde fortunatus.

Digitized by Google

Nic. Agedum deme ipsi abacum, et Dei oraculum ipsum edoce, quomodo se habeat; ego autem ibo et speculabor quid rerum agat Paphlago.

Dem. Agesis tu supellectilem hanc primulum humi depone, deinde Tellurem adora et deos.

Is. En. Quid est?

Dem. O beate et opulente, ô qui nunc quidem nullus es, cras autem eris maximus! O Athenarum dux fortunatarum!

Is. Quamobrem, ô bone, non me sinis abluere istos ventriculos, isiciaque vendere, sed me ludibrio habes?

Dem. Quosnam, stulte, ventriculos? huc adspice. Nempe vides ordines horum populorum.

Is. Video.

Dem. Istorum omnium tu dux et princeps eris, et fori, et portuum, et concionis: Senatum calcabis: prætores defringes, nervo constringes, in carcerem conjicies: ipsus in Prytaneo scortaberis.

Is. Egone?

Dem. Tu quidem; et nondum omnia vides. Sed ascende etiam in hunc abacum, et specta insulas omnes circumcirca.

Is. Specto.

Dem. Quid vero? Emporia et naves onerarias?

Is. Equidem.

Dem. Qui ergo non sis valde fortunatus? Etiam oculum detorque in Cariam dexterum, alterum autem in Chalcedonem.

Digitized by Google

ὡς εὐτυχὴς εἶ, καὶ μεγαλῶς εὐδαιμονεῖς.

Νι. ἴθι δὴ, κάθελ' αὐτοῦ τοὔλεον, καὶ τοῦ θεοῦ
τὸν χρησμὸν αὐτὸν ἀναδίδαξον ὡς ἔχει·
ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.

Δη. ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί·
ἔπειτα τὴν γῆν πρόσκυσον, καὶ τοὺς θεούς.

Αλ. ἰδού· τί ἐστιν;

Δη. ὦ μακάρι', ὦ πλούσιε·
ὦ νῦν μὲν οὐδεὶς, αὔριον δ' ὑπέρμεγας·
ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων.

Αλ. τί μ', ὦ 'γάθ', οὐ πλύνειν ἐᾷς τὰς κοιλίας,
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;

Δη. ὦ μῶρε, ποίας κοιλίας; δευρὶ βλέπε.
τὰς στίχας ὁρᾷς γε τῶνδε τῶν λαῶν.

Αλ. ὁρῶ.

Δη. τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει,
καὶ τῆς ἀγορᾶς, καὶ τῶν λιμένων, καὶ τῆς Πνυκός.
Βουλὴν πατήσεις, καὶ στρατηγοὺς κλαστάσεις,
δήσεις, φυλάξεις, ἐν Πρυτανείῳ λαικάσεις.

Αλ. ἐγώ;

Δη. σὺ μέντοι· κοὐδέπω γε πάνθ' ὁρᾷς.
ἀλλ' ἐπανάβηθι κἀπὶ τοὔλεον τοδὶ,
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.

Αλ. καθορῶ.

Δη. τί δαί; τἀμπόρια, καὶ τὰς ὁλκάδας;

Αλ. ἔγωγε.

Δη. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' εἰς Καρίαν

Digitized by Google

τὸν δεξιὸν, τὸν δ' ἕτερον εἰς Χαλκηδόνα.
Αλ. εὐδαιμονήσω γ', εἰ διαστραφήσομαι;
Δη. οὐκ· ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
γίγνει γὰρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
ἀνὴρ μέγιστος.
Αλ. εἰπ' ἐμοὶ, καὶ πῶς ἐγὼ
ἀλλαντοπώλης ὤν, ἀνὴρ γενήσομαι;
Δη. δι' αὐτὸ γάρτοι τοῦτο καὶ γίγνει μέγας,
ὁτιὴ πόνηρος, κἀξ ἀγορᾶς εἶ, καὶ θρασύς.
Αλ. οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύσαι μέγα.
Δη. οἴμοι, τί ποτ' ἔσθ', ὅτι σαυτὸν οὐ φῂς ἄξιον;
ξυνειδέναι τι μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν;
Αλ. μὰ τοὺς θεοὺς,
εἰμ' ἐκ πονηρῶν γ'.
Δη. ὦ μακάριε τῆς τύχης,
οἷον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα.
Αλ. ἀλλ', ὦ 'γαθ', οὐδὲ μουσικὴν ἐπίσταμαι,
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
Δη. τουτί σε μόνον ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς.
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
ἔτ' ἐστὶν ἀνδρὸς, οὐδὲ χρηστοῦ τοὺς τρόπους,
ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
ἅ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.
Αλ. πῶς δῆτά φησιν ὁ χρησμός;
Δη. εὖ, νὴ τοὺς θεοὺς,
καὶ ποικίλως πως, καὶ σοφῶς ᾐνιγμένος.
'Αλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης

Digitized by Google

Is. Sicilicet fortunatus ero, si strabo fiam?

Dem. Immo hæc omnia per te veneunt. Fies enim, ut oraculum hoc prædicat, vir maximus.

Is. Dic mihi, quomodo ego, qui isiciarius sum, vir fiam?

Dem. Ob id ipsum enim fies magnus, quia malus es, et unus e foro, itemque audax.

Is. Indignum me esse deputo, qui potens adeo fiam.

Dem. Hei mihi! quid est quod te indignum autumas? videris mihi præclari quidpiam tibi conscire. Num ex bonis et probis es prognatus?

Is. Immo, per deos adjuro, sum ex malis.

Dem. O fortunate, quam magnum a natura habes adjumentum rerum gerendarum!

Is. Sed, ô bone, nec liberalem doctrinam adtigi, præterquam literas, nec eas quidem satis feliciter.

Dem. Hoc unicum tibi officit, quod vel male literas scis. Reipublicæ enim administratio non doctum amplius competit in hominem, nec bene moratum, sed in rudem et sceleratum: tu vero noli negligere, quæ tibi dant in vaticiniis dii.

Is. Quo modo itaque dicit oraculum?

Dem. Bene, ita me dii ament, varieque, et scita ambiguitate contextum est. *Sed quum maxillis prehenderet coriaria aquila*

Digitized by Google

unco rostro prædita draconem stupidum, potorem sanguinis, sane tunc Paphlagonum quidem muria alliata peribit: intestinorum autem venditoribus magnam deus largitur gloriam, nisi si maluerint isicia vendere.

Is. Quomodo ergo hæc ad me pertinent? edoce me.

Dem. Coriaria quidem aquila est Paphlago iste.

Is. Quid vero significat *unco rostro prædita?*

Dem. Istuc subindicat curvis eum manibus rapere et ferre.

Is. Sed draco quorsum spectat?

Dem. Planissimum hoc est. Draco enim est longum quiddam: isicium itidem longum: deinde sanguinis potor et isicium est et draco. Itaque draconem ait coriariam aquilam superare jam posse, si verbis se decipi non sinat.

Is. Hæc quidem vaticinia me vocant: sed miror qua ratione aptus sim procurandis populi negotiis.

Dem. Res est facillima. Ea, quæ nunc facis, face: turba, implica, ut intestina soles, ita res omnes; populum fac tuum semper, verbulis eum demulcens coquinariis. Cetera tibi sunt in mundo, quibus populum concilies tibi: vox dira, natura malus es, forensis es: habes omnia, quibus usus est ad rempublicam administrandam: oracula conveniunt, et ipsum Pythicum. Sed capiti coronam impone, et liba Coalemo, et vide, ut strenue obsistas homini isti.

Is. Et quis adjutor erit mihi? nam eum et divites metuunt, et plebs formidat paupercula.

Digitized by Google

γαμφηλῇσι δράκοντα κοάλεμον, αἱματοπώτην,
δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκοροδάλμη·
κοιλιοπώλησιν δὲ θεὸς μέγα κῦδος ὀπάζει,
αἴ κεν μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.

Αλ. πῶς οὖν πρὸς ἐμὲ ταῦτ' ἐστίν; ἀναδίδασκέ με.

Δη. βυρσαίετος μὲν, ὁ Παφλαγὼν ἔσθ' οὑτοσί.

Αλ. τί δ' ἀγκυλοχείλης ἐστίν;

Δη. αὐτό που λέγει,
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.

Αλ. ὁ δράκων δὲ πρὸς τί;

Δη. τοῦτο περιφανέστατον.
ὁ δράκων γάρ ἐστι μακρὸν, ὅ τ' ἀλλᾶς αὖ μακρόν·
εἶθ' αἱματοπώτης ἐστὶν ὅ τ' ἀλλᾶς, χὠ δράκων.
τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
ἤδη κρατήσειν, αἴκε μὴ θαλφθῇ λόγοις.

Αλ. τὰ μὲν λόγια καλεῖ με. θαυμάζω δ' ὅπως
τὸν δῆμον οἷός τ' εἰμ' ἐπιτροπεύειν ἐγώ.

Δη. φαυλότατον ἔργον· ταῦθ' ἅπερ ποιεῖς, ποίει·
τάραττε, καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα
ἅπαντα, καὶ τὸν δῆμον αἰεὶ προσποιοῦ,
ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικὰ,
φωνὴ μιαρὰ, γέγονας κακὸς, ἀγοραῖος εἶ·
ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ·
χρησμοί τε συμβαίνουσι, καὶ τὸ Πυθικόν.
ἀλλὰ στεφανοῦ, καὶ σπένδε τῷ Κοαλέμῳ·
χὤπως ἀμυνεῖ τὸν ἄνδρα.

Αλ. καὶ τίς ξύμμαχος

γενήσεταί μοι; καὶ γάρ οἵ τε πλούσιοι
δεδίασιν αὐτὸν, ὅ τε πένης βδύλλει λεώς.
Δη. ἀλλ' εἰσὶν Ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι,
μισοῦντες αὐτὸν, οἳ βοηθήσουσί σοι,
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοὶ,
καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιὸς,
κἀγὼ μετ' αὐτῶν, χῷ θεὸς ξυλλήψεται.
καὶ μὴ δέδιθ'. οὐ γάρ ἐστιν ἐξῃκασμένος.
ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
γνωσθήσεται. τὸ γὰρ θέατρον δεξιόν.
Νι. οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται.
Κλ. οὔ τοι, μὰ τοὺς δώδεκα θεοὺς, χαιρήσετον,
ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνώμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
οὐκ ἔστιν ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
ἀπολεῖσθον, ἀποθανεῖσθον, ὦ μιαρωτάτω.
Δη. οὗτος, τί φεύγεις; οὐ μενεῖς, ὦ γεννάδα
ἀλλαντοπῶλα; μὴ προδῷς τὰ πράγματα.
ἄνδρες Ἱππῆς, παραγένεσθε· νῦν ὁ καιρός. ὦ Σίμων,
ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
ἄνδρες ἐγγύς· ἀλλ' ἀμύνου, κἀπαναστρέφου πάλιν.
ὁ κονιορτὸς δῆλος αὐτῶν, ὡς ὁμοῦ προσκειμένων.
ἀλλ' ἀμύνου, καὶ δίωκε, καὶ τροπὴν αὐτοῦ ποιοῦ.
Χο. παῖε, παῖε τὸν πανοῦργον, καὶ ταραξιππόστρατον,
καὶ τελώνην, καὶ φάραγγα, καὶ Χάρυβδιν ἁρπαγῆς,
καὶ πανοῦργον, καὶ πανοῦργον. πολλάκις γὰρ αὔτ' ἐρῶ.
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.

Digitized by Google

DEM. At sunt Equites mille, viri boni qui oderunt eum, et opem ferent tibi, et civium quotquot boni sunt et probi, et ex spectatoribus quisquis est cordatus, et ego cum ipsis, eritque adjutor deus. Et cave timeas: ipsius enim non videbis vultum; nam personam effingere, quæ eum referret, nullus præ metu voluit artifex. Attamen plane cognoscetur: nam spectatores sciti sunt.

NIC. Væ misero mihi! Paphlago egreditur.

CLEO. Næ haud impune, ita me amabunt Consentes dii, feretis, quod in rempublicam conjurastis dudum. Istuc Chalcidicum poculum quid vult sibi? non potest fieri, quin Chalcidenses ad defectionem sollicitetis. Peribitis, moriemini, sceleratissimorum par.

DEM. Eho tu, quid fugis? non manebis, ô egregie isiciarie? ne prodas negotium. Viri Equites, adeste, tempus est. O Simo, ô Panæti, nonne agetis equos ad dextrum cornu? Prope adsunt viri: sed resiste tu quoque, et revertere rursus: apparet pulvis quem excitant, unde cognoscas eos propius imminere. Sed defende, pelle, et in fugam eum verte.

CHOR. Cæde, cæde veteratorem, et perturbatorem equestrium turmarum, et publicanum, et abyssum malitiæ, et gurgitem rapinarum, et veteratorem, et veteratorem: identidem enim hoc dicam; namque veteratorie ille plus semel singulis diebus agit.

Digitized by Google

Sed verbera, pelle, perturba, age, rue, et exsecrare eum, uti nos facimus, eique instans clama. Cave autem ne effugiat: quippe novit vias, per quas Eucrates fugit ad furfures.

Cleo. O senes Heliastæ, cognati trioboli, quos ego pasco, æqua et iniqua clamitans, succurrite: nam ab hominibus conjuratis verberor.

Chor. Merito sane tuo, quippe qui communia bona, prius quam sorte distribuantur, devoras, e t pertrectas premisque reos, tanquam ficus, spectans ecquis eorum sit crudus, aut maturus, aut nondum maturus: et observas, siquis civium simplex est instar agni, opulentus, a negotiis remotus, et fugitans litium: tum si quem videas otiosum et oscitantem, huc evocatum ex Chersoneso medium prehendis, collum implicas nexu brachii, humerumque retorques, sicque afflictum præcidere soles.

Cleo. Vos una in me insurgitis: at, ô viri, propter vos vapulo, quia sententiam dicturus eram in Senatu, ut æquum sit in urbe exstare monumentum vestræ fortitudinis.

Chor. Quam gloriosus, quam subactus est! Viden' quomodo nobis tanquam senibus subrepit, et nos deludit. Sed si hac ratione vincit, eadem ferietur: si vero huc declinaverit, in crus impinget.

Cleo. O cives, ô popule, quales mihi beluæ ventrem percutiunt!

Chor. Etiam clamitas, qui semper urbem vastas?

Is. At ego te isto meo clamore primum fugabo.

Chor, At si quidem eum clamore viceris, triumphale canticum tibi accinetur: sin impudentia ipsum superaveris, palma nostra est.

Cleo. Hunc hominem defero, aioque eum extulisse triremibus Peloponnesiorum juscula.

Digitized by Google

ἀλλὰ παῖε, καὶ δίωκε, καὶ τάραττε, καὶ κύκα,
καὶ βδελύττου, καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βόα·
εὐλαβοῦ δὲ, μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδοὺς,
ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.
Κλ. ὦ γέροντες Ἡλιασταὶ, φράτορες τριωβόλου,
οὓς ἐγὼ βόσκω, κεκραγὼς καὶ δίκαια κἄδικα,
παραβοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.
Χο. ἐν δίκῃ γ'· ἐπεὶ τὰ κοινὰ, πρὶν λαχεῖν, κατεσθίεις,
κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους, σκοπῶν,
ὅστις αὐτῶν ὠμός ἐστιν, ἢ πέπων, ἢ μὴ πέπων,
καὶ σκοπεῖς γε, τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,
πλούσιος, καὶ μὴ πόνηρος, καὶ τρέμων τὰ πράγματα·
κἤν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,
καταγαγὼν ἐκ Χεῤῥονήσου, διαλαβὼν ἠγκύρισας,
εἶτ', ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολήβασας.
Κλ. ξυνεπίκεισθ' ὑμεῖς· ἐγὼ δ', ὦ 'νδρες, δι' ὑμᾶς τύπτομαι,
ὅτι λέγειν γνώμην ἔμελλον, ὡς δίκαιον ἐν πόλει
ἑστάναι μνημεῖον ὑμῶν ἐστιν ἀνδρίας χάριν.
Χο. ὡς δ' ἀλαζὼν, ὡς δὲ μάσθλης· εἶδες, οἷ ὑπέρχεται
ὡσπερεὶ γέροντας ἡμᾶς, κἀκκοβαλικεύεται.
ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτῃὶ πεπλήξεται·
ἢν δ' ὑπεκκλίνῃ γε δευρὶ, πρὸς σκέλος κυρηβάσει.
Κλ. ὦ πόλις καὶ δῆμ', ὑφ' οἵων θηρίων γαστρίζομαι.
Χο. καὶ κέκραγας, ὅσπερ αἰεὶ τὴν πόλιν καταστρέφεις;
Αλ. ἀλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτον τρέψομαι.
Χο. ἀλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ·
ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.
Κλ. τουτονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι, καὶ φήμ' ἐξάγειν

Digitized by Google

ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.

Αλ. ναὶ μὰ Δία, κᾆγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ
ἐσδραμὼν ἐς τὸ Πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.

Δη. νὴ Δί', ἐξαγαγών γε τἀπόῤῥηθ', ἅμ' ἄρτον καὶ κρέας,
καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.

Κλ. ἀποθανεῖσθον αὐτίκα μάλα.

Αλ. τριπλάσιον κεκράξομαί σου.

Κλ. καταβοήσομαι βοῶν σε.

Αλ. κατακεκράξομαί σε κράζων.

Κλ. διαβαλῶ σ', ἐὰν στρατηγῇς.

Αλ. κυνοκοπήσω σου τὸ νῶτον.

Κλ. περιελῶ σ' ἀλαζονείας.

Αλ. ὑποτεμοῦμαι τὰς ὁδούς σου.

Κλ. βλέψον εἴς μ' ἀσκαρδάμυκτος.

Αλ. ἐν ἀγορᾷ κᾀγὼ τέθραμμαι.

Κλ. διαφορήσω σ', εἴ τι γρύξεις.

Αλ. κοπροφορήσω σ', εἰ λαλήσεις.

Κλ. ὁμολογῶ κλέπτειν· σὺ δ' οὐχί.

Αλ. νὴ τὸν Ἑρμῆν τὸν Ἀγοραῖον,
κᾀπιορκῶ γε βλεπόντων.

Κλ. ἀλλότρια τοίνυν σοφίζει,
καί σε φαίνω τοῖς Πρυτάνεσιν,
ἀδεκατεύτους τῶν θεῶν ἱε-
ρὰς ἔχοντα κοιλίας.

Χο. ὦ μιαρὲ, καὶ βδελυρὲ,
καὶ κεκράκτα, τοῦ σοῦ θράσους
πᾶσα μὲν γῆ πλέα
πᾶσα δ' ἐκκλησία,

Digitized by Google

Is. At ego hunc, ita me Jupiter amet, quia ventre vacuo currit in Prytaneum, post revertitur inde currens pleno.

Dem. Quin etiam, ita me Jupiter amet, effert inde res vetitas, panem et carnem, et piscium frusta, quæ nec Pericli obtigerunt unquam.

Cleo. Moriemini jamjam.

Is. Triplo plus vociferabor.

Cleo. Clamando superabo te.

Is. Vociferando superabo te.

Cleo. Calumniabor te, ubi prætor eris.

Is. Concidam tibi tergum.

Cleo. Circumcidam tibi tuas arrogantias.

Is. Molitiones tuas præcidam.

Cleo. Adspice me oculis non conniventibus.

Is. In foro ego etiam educatus fui.

Cleo. Differam te, si quid mutis.

Is. Stercore te oblinam, si loqueris.

Cleo. Ego fateor me esse furem : tu vero negas.

Is. Quin, ita me Mercurius Forensis amet, etiam pejero, si me furantem viderint.

Cleo. Alienas igitur artes æmularis: et te deferam apud magistratus, quod non decimatos diis sacros possides ventriculos.

Chor. O impure et flagitiose et clamose, audacia tua omnem terram implevit, omnemque concionem et telonia, et tabularia, et tribunalia. O qui omnia, ut cœnum, confundis, et

Digitized by Google

universam urbem nostram perturbasti, qui Athenas nostras obtudisti clamitans, et qui e specula publica vectigalia, ut piscatores e scopulis thynnos, observas!

Cleo. Novi unde res ista consuitur dudum.

Is. Si tu non nosti rationem suendi coria, nec ego rationem farciendi intestina: qui dolose incidens corium infelicis bovis, vendebas agricolis astute, ut videretur crassum, et prius quam unum diem id gestaverint, duobus palmis majus erat.

Dem. Edepol eadem fraude usus est mecum, ita ut valde irrisui fuerim popularibus meis et amicis: nondum enim Pergasis eram, quum jam natarem in calceis.

Chor. Annon ergo inde a principio exseruisti impudentiam, quæ unicum præsidium est rhetorum? qua tu fretus mulges peregrinorum opulentiores, ipse facile inter eos princeps: Hippodami vero filius liquitur lacrimis. Sed enim exortus est homo alius multo te impurior, id quod lætor, qui te dejiciet e loco, et, ut ex his satis apparet, te superabit versutia et audacia et præstigiis. Sed, ô qui ibi nutritus es, unde prodeunt viri, qui quidem sunt, nunc ostende vanum esse illud verbum, quod jubet *modeste educari*.

Digitized by Google

καὶ τέλη, καὶ γράφαι,
καὶ δικαστήρι', ὦ
βορβοροτάραξι, καὶ
τὴν πόλιν ἅπασαν ἡ-
μῶν ἀνατετυρβακὼς,
ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν,
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.
Κλ. οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ', ὅθεν πάλαι καττύεται.
Αλ. εἰ δὲ μὴ σύ γ' οἶσθα κάττυμ', οὐδ' ἐγὼ χορδεύματα,
ὅστις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοὸς
τοῖς ἀγροίκοισιν πανούργως, ὥστε φαίνεσθαι παχὺ,
καὶ πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν.
Δη. κἀμὲ, νὴ Δία, τοῦτ' ἔδρασε ταυτὸν, ὥστε κατάγελων
πάμπολυν τοῖς δημόταις καὶ τοῖς φίλοις παρασχέθειν.
πρὶν γὰρ εἶναι Περγασῆσιν, ἔνεον ἐν ταῖς ἐμβάσιν.
Χο. ἆρα δῆτ' οὐκ ἀπ' ἀρ-
χῆς ἐδήλους ἀναί-
δειαν, ἥπερ μόνη
προστατεῖ τῶν ῥητόρων,
ᾗ σὺ πιστεύων ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους,
πρῶτος ὤν; ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος.
ἀλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
σοῦ μιαρώτερος, ὥστ' ἐμὲ χαίρειν,
ὅς σε παύσει, καὶ πάρεισι, δῆλός ἐστιν αὐτόθεν,
πανουργίᾳ τε, καὶ θράσει,
καὶ κοβαλικεύμασιν.
ἀλλ', ὦ τραφεὶς, ὅθεν πάρεισιν ἄνδρες, οἵπερ εἰσὶ,
νῦν δεῖξον, ὡς οὐδὲν λέγει τὸ ΣΩΦΡΟΝΩΣ ΤΡΑ-
ΦΗΝΑΙ.

Digitized by Google

Αλ. καὶ μὴν ἀκούσαθ' οἷός ἐστιν οὑτοσὶ πολίτης.
Κλ. οὐκ αὖ μ' ἐάσεις;
Αλ. μὰ Δί', ἐπεὶ κἀγὼ πονηρός εἰμι.
ἀλλ' αὐτὸ, περὶ τοῦ πρότερος εἰπεῖν, πρῶτα διαμαχοῦμαι.
Χο. ἐὰν δὲ μὴ ταύτῃ γ' ὑπείκῃ, λέγ', ὅτι κἀκ πονηρῶν.
Κλ. οὐκ αὖ μ' ἐάσεις;
Αλ. οὐ μὰ Δία.
Κλ. ναὶ μὰ Δία.
Αλ. μὰ τὸν Ποσειδῶ.
Κλ. οἴμοι διαῤῥαγήσομαι.
Αλ. καὶ μήν σ' ἐγὼ οὐ παρήσω.
Χο. πάρες, πάρες, πρὸς τῶν θεῶν, αὐτῷ διαῤῥαγῆναι.
Κλ. τῷ καὶ πεποιθὼς ἀξιοῖς λέγειν ἐναντίον ἐμοῦ;
Αλ. ὅτιὴ λέγειν οἷός τε κἀγὼ, καὶ καρυκοποιεῖν.
Κλ. ἰδοὺ λέγειν. καλῶς γ' ἂν οὖν τι πρᾶγμα προσπεσόν σοι
ὠμοσπάρακτον παραλαβὼν, κἆταχειρίσαιο χρηστῶς.
ἀλλ' οἶσθ' ὅ μοι πεπονθέναι δοκεῖς; ὅπερ τὸ πλῆθος.
εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου,
τὴν νύκτα θρυλλῶν, καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ,
ὕδωρ τε πίνων, κἀπιδεικνὺς, τοὺς φίλους τ' ἀνιῶν,
ᾤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.
Αλ. τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας, ὥστε νυνὶ
ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;
Κλ. ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τιν'; ὅστις εὐθὺς
θυννεῖα θερμὰ καταφαγὼν, κᾆτ' ἐπιπιὼν ἄκρατον
οἴνου χοᾶ, κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς.
Αλ. ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
καταβροχθίσας, κᾆτ' ἐκπιὼν τὸν ζωμὸν, ἀναπόνιπτος,

Digitized by Google

Is. Atqui audite, qualis iste sit civis.

Cleo. Nonne me sines verba facere?

Is. Haud sane hercle, quia et ego malus sum. Sed de hoc ipso primum decertabo tecum, quis debeat prior verba facere.

Chor. Quod si huic argumento non cesserit, adde etiam, quia sis malis prognatus.

Cleo. Non mihi concedes?

Is. Non hercle.

Cleo. Immo hercle.

Is. Non: ita me Neptunus amet.

Cleo. Hei mihi! disrumpar.

Is. At ego te non sinam.

Chor. Sine, sine, per deos obsecro, eum disrumpi.

Cleo. Qua fiducia fretus dignum te censes qui mihi contradicas?

Is. Quia dicendi peritus et ego sum atque condiendi.

Cleo. Ecce vero *dicendi!* Pulchre tu sane, negotium aliquod tibi oblatum suscipiens, in frusta discerperes, tractaresque, ut par est. Sed scinne, quid ego tibi evenisse putem? quod plerisque solet. Si forte unam liticulam bene defendisti contra inquilinum advenam quempiam, nocte tota susurrans, et tecum in viis loquens, aquam potans, et speciminis gratia recitans, amicisque molestiam exhibens, propterea te peritum esse dicendi putas, ô fatue.

Is. At tu quo usus potu effecisti, ut civitas nunc tua solius loquacitate obstupuerit muta?

Cleo. Mihine vero opposueris hominum quemquam? qui simul ac thynni frusta calida devoravero, et post ebibero meracioris vini congium, vexabo omnes in Pylo duces.

Is. Ego vero bovis omasum et ventrem suillum si deglutivero, deinde jusculum superimbibero illotus, guttur præcidam rhetoribus, et Niciam commotum reddam.

Digitized by Google

Chor. Cetera quidem, quæ dixti, placent mihi: unum autem improbo, quod solus jusculum exsorbebis.

Cleo. Sed non turbabis Milesios, devoratis lupis.

Is. At bovillis costis devoratis metalla redimam.

Cleo. Ego vero in Senatum irruens, vi omnia infima summis paria faciam.

Is. Ego vero podicem tuum pro intestino agitabo.

Cleo. Ego vero podice impulsum te extrudam cernuum.

Chor. At, per Neptunum, trahes me quoque, si quidem hunc traxeris.

Cleo. Ut ego te in nervo constringam!

Is. Timiditatis reum te agam.

Cleo. Corium tuum sellis obducetur.

Is. Excoriabo te, et faciam ex te saccum furtorum.

Cleo. Distenderis humi paxillis adfixus.

Is. Minutalia ex te faciam.

Cleo. Palpebras tuas evellam.

Is. Ingluviem tuam exscindam.

Dem. Atque hercle immisso ei in os paxillo, coquorum more, deinde linguam ejus extrahentes, spectabimus probe, ipso hiante, an ei culus strumas habeat.

Chor. Erant ergo igne alia quædam calidiora, et in urbe verbis impudentibus alia impudentiora: et hæc res non est adeo contemnenda. Sed insta et versa, nihil fac modicum:

Digitized by Google

λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω.
Χο. τὰ μὲν ἄλλα μ' ἤρεσας λέγων· ἓν δ' οὐ προσίεταί με
τῶν πραγμάτων, ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσεις.
Κλ. ἀλλ' οὐ, λάβρακας καταφαγὼν, Μιλησίους κλονήσεις.
Αλ. ἀλλὰ σχελίδας ἐδηδοκὼς, ὠνήσομαι μέταλλα.
Κλ. ἐγὼ δ' ἐπεισπηδῶν γε τὴν Βουλὴν βίᾳ κυκήσω.
Αλ. ἐγὼ δὲ κινήσω γέ σοι τὸν πρωκτὸν ἀντὶ φύσκης.
Κλ. ἐγὼ δέ γ' ἐξελῶ σε τῆς πυγῆς θύραζε κύβδα.
Χο. νὴ τὸν Ποσειδῶ, κἀμέ γ' ἄρ', ἤνπερ γε τοῦτον ἕλκης.
Κλ. οἷόν σε δήσω τῷ ξύλῳ.
Αλ. διώξομαί σε δειλίας.
Κλ. ἡ βύρσα σου θρανεύσεται.
Αλ. δερῶ σε θύλακον κλοπῆς.
Κλ. διαπατταλευθήσει χαμαί.
Αλ. περικόμματ' ἐκ σοῦ σκευάσω.
Κλ. τὰς βλεφαρίδας σου περιτιλῶ.
Αλ. τὸν πρηγορεῶνά σου 'κτεμῶ.
Δη. καὶ νὴ Δί' ἐμβαλόντες αὐ-
τῷ πάτταλον μαγειρικῶς
εἰς τὸ στόμ', εἶτά γ' ἔνδοθεν
τὴν γλῶτταν ἐξείραντες αὐ-
τοῦ, σκεψόμεσθ' εὖ κἀνδρικῶς
κεχηνότος
τὸν πρωκτὸν, εἰ χαλαζᾷ.
Χο. ἦ ἄρα πυρός γ' ἕτερα θερμότερα·
καὶ λόγων ἐν πόλει
τῶν ἀναιδῶν ἀναιδέστεροι·
καὶ τὸ πρᾶγμ' οὐκ ἄρ' ἦν φαῦλον ὧδ'.

Digitized by Google

ἀλλ' ἔπιθι καὶ στρόβει,
μηδὲν ὀλίγον ποίει.
νῦν γὰρ ἔχεται μέσος·
ὡς ἐὰν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
δειλὸν εὑρήσεις. ἐγὼ γὰρ τοὺς τρόπους ἐπίσταμαι.
Αλ. ἀλλ' ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον,
κᾆτ' ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέρος.
νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται.
Κλ. οὐ δέδοιχ' ὑμᾶς, ἕως ἂν ζῇ τὸ βουλευτήριον,
καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον.
Χο. ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται,
κοὐ μεθίστησι τοῦ χρώματος
τοῦ παρεστηκότος.
Κλ. εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κώδιον,
καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίαν.
Χο. ὦ περὶ πάντ', ἐπὶ πᾶσί τε πράγμασι,
δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων,
εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν.
ᾄσαιμι γὰρ τότ' ἂν μόνον·
Πῖνε, πῖν' ἐπὶ συμφοραῖς.---
τὸν Ἰουλίου τ' ἂν οἴομαι, γέροντα πυῤῥοπίπην,
ἡσθέντ' ἰηπαιωνίσαι, καὶ Βακχέβακχον ᾆσαι.
Κλ. οὔ τοι μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ, μὰ τὸν Ποσειδῶ·
ἢ μή ποτ' Ἀγοραίου Διὸς σπλάγχνοισι παραγενοίμην.
Αλ. ἔγωγε, νὴ τοὺς κονδύλους, οὓς πολλὰ δὴ 'πὶ πολλοῖς
ἠνεσχόμην ἐκ παιδίων, μαχαιρίδων τε πληγάς,
ὑπερβαλεῖσθαί σ' οἴομαι τούτοισιν, ἢ μάτην γ' ἂν

Digitized by Google

nunc enim medius tenetur. Nam ubi primo congressu molliorem eum feceris, timidum reperies; ego enim novi ejus mores.

Is. Attamen iste, qui talis fuerat per omnem vitam, visus est vir fortis esse, quum falcem in alienam immisisset messem: et nunc spicas illas, quas inde adduxit, in nervo constrictas arefacit, et vult vendere.

Cleo. Non metuo vos, quamdiu Senatus vivit, et Populi persona sedet stupida.

Chor. Vah! ut impudens est ad omnia, nec mutat colorem confidentiæ indicem!

Cleo. Nisi te odi, fiam una de pellibus Cratini, et docear accinere Morsimi tragœdiam.

Chor. O qui circa omnia et in omnibus munera captans sessitas, ut apis in floribus, utinam facile, ut invenisti, ita ejicias bucceam! tunc demum cantarem, *Bibe, bibe secundis rebus.* Arbitror etiam Juli filium, sen em illum puerorum sectatorem præ lætitia Pæanem et Bacchebacchum cantaturum.

Cleo. Ita me Bacchus amet, ut impudentia me non superabitis, aut nunquam Jovis Forensis intersim sacris.

Is. Ita me pugni juvent, quos sæpe et multis de causis perpessus sum inde a puero, et plagæ cultellis mihi inflictæ, ut spero me superaturum te in hac re: aut frustra offis nutritus, quibus manus absterguntur, in hanc molem excreverim.

Digitized by Google

Cleo. *Offis*, ô scelestissime, ut canis, nutritus fuisti? quomodo ergo qui canis cibum esitas, cum cynocephalo pugnabis?

Is. Quin edepol aliæ sunt fraudes, quas puer feci. Nam decipiebam coquos, coram sic dicens: *Spectate pueri, annon videtis? ver novum adest, hirundo venit.* Tum illi spectabant: ego vero interea carnis aliquid furabar.

Chor. O astutissimum corpus, quam solerter providebas! quasi urticas esitans, ante adventum hirundinum surripiebas.

Is. Id quidem plerumque clam eos faciebam: at si quis eorum animadvertisset, abscondens carnem inter femina, per deos furtum abjurabam. Proinde dixit rhetor, qui me id facientem viderat: *Fieri non potest, quin iste puer olim rempublicam administret.*

Chor. Bene sane conjectavit: atque satis apparet, unde documentum ceperit: quod nimirum furto facto pejerabas, et culus tuus carnem tenebat.

Cleo. Audaciam tuam, immo, ut puto, amborum compescam. Nam erumpam vehemens, magnoque incumbam impetu, terram simul et maria perturbans temere.

Is. Ego vero, isiciis contractis, committens me ipsum fluctibus secundis, multum plorare te jubebo.

Dem. Et ego, si quid fatiscat, sentinam observabo.

Cleo. Non tu, ita me Ceres amet, Atheniensium multa talenta impune furatus fueris.

Chor. Specta, et pedem veli nonnihil laxa: nam Cæcias iste jam calumnias spirat.

Cleo. Te vero certo scio ex Potidæa habere decem talenta.

Is. Quid ergo? vin' accepto uno istorum talentûm tacere?

Chor. Lubens acciperet homo. Sed tu extremos funes laxa.

Digitized by Google

ἀπομαγδαλίας σιτούμενος τοσοῦτος ἐκτραφείην.

Κλ. ἀπομαγδαλίας, ὥσπερ κύων, ὦ παμπόνηρε; πῶς οὖν
κυνὸς βορὰν σιτούμενος μάχει σὺ κυνοκεφάλῳ;

Αλ. καὶ, νὴ Δί', ἄλλα γ' ἐστί μου κόβαλα παιδὸς ὄντος.
ἐξηπάτων γὰρ τοὺς μαγείρους, ἐπιλέγων τοιαυτί·
Σκέψασθε, παῖδες· οὐχ ὁρᾶθ'; ὥρα νέα, χελιδών.---
οἱ δ' ἔβλεπον, κἀγὼ 'ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.

Χο. ὦ δεξιώτατον κρέας, ὡς σοφῶς γε προὐνοήσω·
ὥσπερ ἀκαλήφας ἐσθίων, πρὸ χελιδόνων ἔκλεπτες.

Αλ. καὶ ταῦτα δρῶν ἐλάνθανόν γ'· εἰ δ' οὖν ἴδοι τις αὐτῶν,
ἀποκρυπτόμενος εἰς τὰς κοχώνας, τοὺς θεοὺς ἀπώμνυν·
ὥστ' εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα·
Οὐκ ἔσθ' ὅπως ὁ παῖς ὅδ' οὐ τὸν δῆμον ἐπιτροπεύσει.---

Χο. εὖ γε ξυνέβαλεν αὔτ'· ἀτὰρ δῆλόν γ', ἀφ' οὗ ξυνέγνω·
ὁτιὴ 'πιώρκεις θ' ἡρπακὼς, καὶ κρέας ὁ πρωκτὸς εἶχεν.

Κλ. ἐγώ σε παύσω τοῦ θράσους· οἶμαι δὲ μᾶλλον ἄμφω.
ἔξειμι γάρ σοι λαμπρὸς ἤδη, καὶ μέγας καθιεὶς,
ὁμοῦ ταράττων τήν τε γῆν, καὶ τὴν θάλατταν εἰκῇ.

Αλ. ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας, εἶτ' ἀφήσω
κατὰ κῦμ' ἐμαυτὸν οὔριον, κλάειν σε μακρὰ κελεύων.

Δη. κἄγωγ', ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.

Κλ. οὔ τοι, μὰ τὴν Δήμητρα, καταπροίξει, τάλαντα πολλὰ
κλέψας 'Αθηναίων.

Χο. ἄθρει, καὶ τοῦ ποδὸς παρίει·
ὡς οὗτος ἤδη Καικίας καὶ συκοφαντίας πνεῖ.

Κλ. σὲ δ' ἐκ Ποτιδαίας ἔχοντ' εὖ οἶδα δέκα τάλαντα.

Αλ. τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;

Χο. ὡνὴρ ἂν ἡδέως λάβοι. τοὺς δὴ θρίους παρίει.

Digitized by Google

Αλ. τὸ πνεῦμ᾽ ἔλαττον γίγνεται.
Κλ. φεύξει γραφὰς ἑκατονταλάντους τέτταρας.
Αλ. σὺ δ᾽ ἀστρατείας γ᾽ εἴκοσιν,
κλοπῆς δὲ πλεῖν ἢ χιλίας.
Κλ. ἐκ τῶν ἀλιτηρίων σε φη-
μὶ γεγονέναι τῶν τῆς θεοῦ.
Αλ. τὸν πάππον εἶναί φημί σου
τῶν δορυφόρων---
Κλ. ποίων; φράσον.
Αλ. τῶν Βυρσίνης, τῆς Ἱππίου,
Κλ. κόβαλος εἶ.
Αλ. πανοῦργος εἶ.
Χο. παῖ᾽ ἀνδρικῶς.
Κλ. ἰοὺ, ἰού.
τύπτουσί μ᾽ οἱ ξυνωμόται.
Χο. παῖ᾽ αὐτὸν ἀνδρικώτατα, καὶ
γάστριζε τοῖσιν ἐντέροις
καὶ τοῖς κόλοις·
χὤπως κολᾷ τὸν ἄνδρα.
ὦ γεννικώτατον κρέας, ψυχήν τ᾽ ἄριστε πάντων,
καὶ τῇ πόλει σωτὴρ φανεὶς, ἡμῖν τε τοῖς πολίταις,
ὡς εὖ τὸν ἄνδρα ποικίλως θ᾽ ὑπῆλθες ἐν λόγοισι.
πῶς ἄν σ᾽ ἐπαινέσαιμεν οὕτως, ὥσπερ ἡδόμεσθα;
Κλ. ταυτὶ, μὰ τὴν Δήμητρά, μ᾽ οὐκ ἐλάνθανε
τεκταινόμενα τὰ πράγματ᾽· ἀλλ᾽ ἠπιστάμην
γομφούμενά γε τὰ πάντα καὶ κολλώμενα.
Χο. οἴμοι, σὺ δ᾽ οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις;
Αλ. οὔκουν μ᾽, ἐν Ἄργει οἷα πράττει, λανθάνει.

Digitized by Google

Is. Ventus remittit.

Cleo. Lites quatuor tibi intendam centenorum talentûm.

Is. Tibi autem ego viginti desertæ militiæ, peculatus vero plus quam mille.

Cleo. Aio te ex illis ortum esse, qui piaculum in Deam admisere.

Is. Avum tuum aio unum fuisse ex satellitibus—

Cleo. Quibusnam? memora.

Is. Byrsinæ, matris Hippiæ.

Cleo. Impostor es.

Is. Veterator es.

Chor. Verbera ipsum valide.

Cleo. Iu! Iu! verberibus me cædunt conjurati.

Chor. Verbera ipsum validissime; tunde ejus ventrem tuis istis intestinis et colis, et vide ut castiges hominem. O vastissimum corpus, animique fortissimi, qui servator apparuisti reipublicæ, nobisque civibus, quam probe et versute supplantatum oratione vicisti! utinam te laudare possimus, ita ut gestimus!

Cleo. Haud clam me erat, ita me Ceres amet, ista omnia strui: sed sciebam ita compingi et conglutinari.

Chor. Hei mihi! Tu vero nihil ex carpentaria fabrica dicis?

Is. Haud clam me est quid rerum gerat Argis. Simulat

quidem se nobis Argivos conciliare: at privatim illic Lacedæmonios convenit. Atque hæc novi quamobrem conflentur: quippe propter captivos cuduntur.

Chor. Bene sane; tu contra cude, quum ille conglutinat.

Is. Atque illinc etiam homines quidam eadem struunt. Neque tu, si vel argentum et aurum dederis, vel etiam amicos ad me supplicatum miseris, me adduces, ut ego hæc Atheniensibus non indicem.

Cleo. Equidem illico in Senatum ibo, et vestras conjurationes deferam, et coitiones nocturnas contra rempublicam, et ut conspiretis cum Persarum Rege, et ista, quæ apud Bœotos coagulastis negotia.

Is. Quanti ergo venit apud Bœotos caseus?

Cleo. Ego te, ita me juvet Hercules, distendam.

Chor. Agedum tu, quo sis animo et qua mente præditus, nunc ostende, si quidem olim occultavisti carnem inter femina, ut ipse fateris. Nam celeriter currendum tibi erit in senatum: iste enim eo irruens nos omnes calumniabitur, et clamorem tollet.

Is. Jam ibo; sed primumdum ventriculos cultrosque hosce hic statim deponam.

Chor. Cape modo hunc adipem, et eo collum tibi inunge, ut elabi possis e calumniis.

Is. Recte autumas et ex usu palæstræ.

Chor. Tum etiam allia hæc sume et degluti.

Digitized by Google

προφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ·
ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίγνεται.
καὶ ταῦτ' ἐφ' οἷσιν ἐστὶ συμφυσώμενα,
ἐγᾦδ'· ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.
Χο. εὖγ', εὖγε, χάλκευ' ἀντὶ τῶν κολλωμένων.
Αλ. καὶ ξυγκροτοῦσιν ἄνδρες αὔτ' ἐκεῖθεν αὖ.
καὶ ταῦτά μ', οὔτ' ἀργύριον οὔτε χρυσίον
διδοὺς, ἀναπείσεις, οὔτε προσπέμπων φίλους,
ὅπως ἐγὼ ταῦτ' οὐκ Ἀθηναίοις φράσω.
Κλ. ἐγὼ μὲν οὖν αὐτίκα μάλ' εἰς Βουλὴν ἰὼν,
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ,
καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς ἐπὶ τῇ πόλει,
καὶ πάνθ', ἃ Μήδοις καὶ Βασιλεῖ ξυνώμνυτε,
καὶ τἀκ Βοιωτῶν ταῦτα συντυρούμενα.
Αλ. πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος;
Κλ. ἐγώ σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ.
Χο. ἄγε δὴ, σὺ τίνα νοῦν, ἢ τίνα ψυχὴν ἔχεις;
νυνὶ δὲ δείξεις, εἴπερ ἀπεκρύψω τότε
ἐς τὰς κοχώνας τὸ κρέας, ὡς αὐτὸς λέγεις.
θεύσει γὰρ ᾄξας ἐς τὸ βουλευτήριον,
ὥσθ' οὗτος ἐμπεσὼν ἐκεῖσε διαβαλεῖ
ἡμᾶς ἅπαντας, καὶ κραγὸν κεκράξεται.
Αλ. ἀλλ' εἶμι· πρῶτον δ', ὡς ἔχω, τὰς κοιλίας
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.
Χο. ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτωΐ,
ἵν' ἐξολισθαίνειν δύνῃ τὰς διαβολάς.
Αλ. ἀλλ' εὖ λέγεις καὶ παιδοτριβικῶς ταυταγί.
Χο. ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί.

Digitized by Google

Αλ. τί δαί;

Χο. ἵν' ἄμεινον, ὦ 'τὰν, ἐσκοροδισμένος μάχῃ.
καὶ σπεῦδε ταχέως.

Αλ. ταῦτα δρῶ.

Χο. μέμνησό νυν
δάκνειν, καταβάλλειν, τοὺς λόφους κατεσθίειν,
χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.
ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμὸν, καί σε φυλάττοι
Ζεὺς Ἀγοραῖος· καὶ νικήσας
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ' ἡμῶν προσέχετε τὸν νοῦν
τοῖς ἀναπαίστοις, ὦ παντοίας
ἤδη Μούσης
πειραθέντες καθ' ἑαυτούς.

Εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
ἠνάγκαζεν ἔπη λέξοντάς γ' ἐς τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ' ἄξιος ἔσθ' ὁ ποιητὴς,
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια,
καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ, καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φησὶν πολλοὺς αὐτῷ προσιόντας,
καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτὸν,
ἡμᾶς ὑμῖν ἐκέλευσε φράσαι περὶ τούτου. φησὶ γὰρ ὡνὴρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων.
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι.
ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας,

Digitized by Google

Is. Quid ita?

Chor. Ut fortius, ô amice, pugnes pastus allio; et festina ocius.

Is. Hoc ago.

Chor. Memento jam ut mordeas, prosternas, et cristas rodas, et ut palearibus devoratis huc redeas. Sed abi lætus, et rem ex animi mei sententia gere; et te custodiat Jupiter Forensis, victorque inde rursus venias, sertis conspersus. Vos autem anapæstis nostris animum advertite, qui omnigenam doctrinam experti estis.

Si veterum quispiam Comicorum nos adigere voluisset, ut carmina ejus recitaturi in theatrum prodiremus, haud sane facile id a nobis impetrasset: nunc autem dignus est poëta hicce, cujus in gratiam hoc faciamus, quia eosdem nobiscum odit, et quod justum censet, non veretur dicere, fortique animo it obvius turbini et circio. Quod autem vestrûm multi ad ipsum accedentes mirentur, ut ait, et rogitent, cur non dudum chorum sibimet ipse poposcerit, ejus rei causam nos jussit verbis edisserere. Ait autem se non dementia adductum, ut cunctaretur, verum quod existimaret artem comicam rem esse omnium difficillimam; nam quum multi jam eam tentarint, paucis eam sui copiam fecisse: præterea quod vestrum ingenium dudum cognosceret, in horas mutabile, veteresque poëtas,

Digitized by Google

simul ac consenescunt, a vobis deseri. Primo quidem non ignorans, quid evenisset Magneti, quum jam canesceret, qui licet multas victorias a choris adversariorum reportarit, omnigenas voces mittens, psaltrias introducens, aves, Lydos, psenas, et batrachio colore faciem oblinens, non perduravit tamen: sed mala in ætate, non enim in juventute, demum ejectus est, senior factus, quod sales eum deseruerant. Deinde Cratini recordatus, qui quondam multa laude fluens, per planos campos impetu ferebatur, et radicibus evulsas vehebat quercus et platanos, suosque funditus adversarios: quin et canere tunc in convivio nihil licebat, præterquam ista Cratini, *Doro ficulnus pedes ornata*, et *Fabri ingeniosorum hymnorum*; adeo ille florebat. Sed nunc quum videatis illum delirare, non misereamini, postquam labant clavi, nec superat chorda, harmoniis fatiscentibus: at senex obambulat despectui habitus, coronamque aridam gerens, ut Connas, siti perit, quem decebat ob victorias illas priores bibere in Prytaneo, et non tanquam delirantem contemni, verum spectare bene unctum, ad ipsum Bacchi signum sedentem. Crates item quas non iras vestras et vexationes pertulit? qui vos modico sumtu pastos dimittebat, ore delicatissimo perquam urbanas sententias pinsens: iste tamen solus duravit, aliquando cadens, aliquando non. Hæc metuens hicce semper cessavit, dicere etiam solitus, *oportere remigem fieri, priusquam aliquis clavum teneat, deinde proræ custodem et speculatorem ventorum, tum demum gubernare sibi navem.* Horum

Digitized by Google

καὶ τὲς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας.
τῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις,
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια·
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς, καὶ ψάλλων, καὶ πτερυγίζων,
καὶ λυδίζων, καὶ ψηνίζων, καὶ βαπτόμενος βατραχείοις,
οὐκ ἐξήρκεσεν· ἀλλὰ τελευτῶν, ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,
ἐξεβλήθη πρεσβύτης ὢν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη.
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ
διὰ τῶν ἀφελῶν πεδίων ἔῤῥει, καὶ τῆς στάσεως παρασύρων
ἐφόρει τὰς δρῦς, καὶ τὰς πλατάνους, καὶ τοὺς ἐχθροὺς, προ-
θελύμνους· [ΔΙΛΕ,
ᾆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ, πλὴν ΔΩΡΟΙ ΣΥΚΟΠΕ-
καὶ ΤΕΚΤΟΝΕΣ ΕΥΠΑΛΑΜΩΝ ΥΜΝΩΝ· οὕτως
ἤνθησεν ἐκεῖνος.
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε,
ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος,
τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέῤῥει,
ὥσπερ Κόννας, στέφανον μὲν ἔχων αὖον, δίψει δ' ἀπολωλὼς,
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ Πρυτανείῳ,
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσῳ.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς·
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας·
χ' οὗτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
ταῦτ' ὀῤῥωδῶν διέτριβεν ἀεὶ, καὶ πρὸς τούτοισιν ἔφασκεν,
ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν,
κᾆτ' ἐντεῦθεν πρωρατεῦσαι, καὶ τοὺς ἀνέμους διαθρῆσαι,
κᾆτα κυβερνᾷν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα πάντων,

Digitized by Google

ὅτι σωφρονικῶς, κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,
αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις
θόρυβον χρηστὸν ληναΐτην,
ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
κατὰ νοῦν πράξας,
φαιδρὸς λάμποντι προσώπῳ.

Ημ. Ἵππι' ἄναξ, Πόσειδον, ᾧ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἀνδάνει,
καὶ κυανέμβολοι θοαὶ
μισθοφόροι τριήρεις,
μειρακίων θ' ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασι,
καὶ βαρυδαιμονούντων·
δεῦρ' ἔλθ' ἐς χορὸν, ὦ χρυσοτρίαιν', ὦ
δελφίνων μεδέων, Σουνιάρατε,
ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ', ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστώς.

Χο. Εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι, καὶ τοῦ πέπλου,
οἵτινες πεζαῖς μάχαισιν, ἔν τε ναυφράκτῳ στρατῷ
πανταχοῦ νικῶντες αἰεὶ, τήνδ' ἐκόσμησαν πόλιν·
κοὐδεὶς οὐδεπώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν,
ἠρίθμησεν· ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας·
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινὶ,
ταῦτ' ἀπεψήσαντ' ἂν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι,

Digitized by Google

igitur omnium gratia, quia modestus est, nec temere ingressus nugas agit, plausum ipsi excitate multum, et eum undenis remis prosequimini fausta acclamatione Lenæa, ut poëta lætus abeat, re ex sententia gesta, hilari fronte nitens.

Sem. Equestris Neptune, cui æripedum equorum strepitus et hinnitus placet, nec non veloces, cærulea rostra habentes, mercenariæ triremes, gloriantiumque curruum agitatione juvenum certamina, quos perdit equorum cura: huc ades in chorum ô tridente aureo conspicue, ô delphinorum rex, qui in Sunio adoraris et in Geræsto, nate Saturno, Phormioni amice, Atheniensibusque præ ceteris diis in præsenti.

Chor. Laudare volumus majores nostros, qui viros se præstabant dignos hoc solo, et ut eorum facta in peplo pingerentur, qui terrestribus et navalibus præliis ubique semper victores, huic urbi decus conciliarunt: neque quisquam eorum unquam, hostibus conspectis, eorum numerum curavit; sed animo erant ad pugnandum parato. Quod si forte caderent in humerum in prælio aliquo, pulverem abstergebant, et deinde negabant se lapsos esse; quin denuo luctabantur. Nec eorum, qui antea ducebant exercitus, ullus victum sibi publice præ-

Digitized by Google

heri petebat compellans Cleænetum. At nunc nisi prærogativam sedis obtineant et cibum publicum, negant se pugnaturos. Nos vero volumus pro aris et focis gratiis et fortiter pugnare: insuperque nihil petimus, nisi hoc unicum, ut, si quando pax fiat et a bello sit otium, ne nobis invideatis comam alentibus et cutem nitide curantibus.

Sem. O præses urbis Pallas, ó quæ sanctissimam omnium, belloque et poëtis, opibusque excellentem regis terram, huc ades et adduc tecum illam in exercitibus et præliis nostram adjutricem Victoriam, choro nostro amicam, quæ nobiscum hostibus adversatur. Hic igitur nunc appareas: oportet enim viris istis quovis pacto tribuere te victoriam nunc etiam, si unquam alias.

Chor. Quorum conscii sumus de equis, ea volumus prædicare: digni autem sunt, quibus bene dicatur. Multa enim bella socia opera gesserunt nobiscum, irruptionibusque et præliis interfuere. Sed quæ in terra fecerunt, ea non adeo miramur, ut quum in hippagines insiluerunt, fortium virorum more, et comederunt pocula militaria, itemque allia et cepas; deinde

Digitized by Google

ἀλλὰ διεπάλαιον αὖθις, καὶ στρατηγὸς οὐδ᾽ ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ᾽ ἐρόμενος Κλεαίνετον·
νῦν δ᾽ ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ᾽ ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν, καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς, οὐκ αἰτοῦμεν οὐδὲν, πλὴν τοσουτονὶ μόνον·
ἤν ποτ᾽ εἰρήνη γένηται, καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ᾽ ἡμῖν κομῶσι, μηδ᾽ ἀπεστλεγγισμένοις.

Ημ. Ὦ πολιοῦχε Παλλὰς, ὦ
τῆς ἱερωτάτης ἁπα-
σῶν πολέμῳ τε, καὶ ποιη-
ταῖς, δυνάμει θ᾽ ὑπερφερού-
σης μεδέουσα χώρας,
δεῦρ᾽ ἀφικοῦ, λαβοῦσα τὴν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα,
τοῖς τ᾽ ἐχθροῖσι μεθ᾽ ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην, εἴπερ ποτὲ, καὶ νῦν.

Χο. Ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ᾽ ἐπαινέσαι.
ἄξιοι δ᾽ εἴσ᾽ εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ᾽ ἡμῶν, ἐσβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡς ὅτ᾽ εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα, καὶ κρόμμυα·

Digitized by Google

εἶτα τὰς κώπας λαβόντες, ὥσπερ ἡμεῖς οἱ βροτοὶ,
ἐμβαλόντες ἀνεβρύαξαν· Ἱππαπαὶ, τίς ἐμβαλεῖ;
Ληπλέον μᾶλλον. Τί δρῶμεν; Οὐκ ἐλᾶς ὦ σαμφόρα;
ἐξεπήδων τ' εἰς Κόρινθον· εἶτά γ' οἱ νεώτεροι
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς, καὶ μετῇσαν στρώματα·
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας Μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι·
ὥστ' ἔφη Θέωρος εἰπεῖν καρκίνον Κορίνθιον·
Δεινά γ', ὦ Πόσειδον, εἰ μηδ' ἐν βυθῷ δυνήσομαι,
μήτε γῇ, μήτ' ἐν θαλάττῃ, διαφυγεῖν τοὺς ἱππέας.

ΧΟΡΟΣ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΚΛΕΩΝ, ΔΗΜΟΣ.

Χο. Ὦ φίλτατ' ἀνδρῶν, καὶ νεανικώτατε,
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα·
καὶ νῦν, ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν, πῶς τὸ πρᾶγμ' ἠγωνίσω.
Αλ. τί δ' ἄλλο γ', εἰ μὴ νικόβουλος ἐγενόμην;
Χο. νῦν ἄρ' ἄξιόν γε πᾶσιν ἐστὶν ἐπολολύξαι.
ὦ καλὰ λέγων, πολὺ δ' ἄμεινον ἔτι τῶν λόγων
εἰργασμέν', εἴθ' ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς·
ὡς ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν, ὥστ' ἀκοῦσαι.
πρὸς τάδ', ὦ βέλτιστε, θαῤῥήσας λέγ', ὡς ἅ-
παντες ἡδόμεσθά σοι.
Αλ. καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἱέμην·
ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναῤῥηγνὺς ἔπη,

Digitized by Google

numtis remis, uti nos homines, incumbentes vociferabantur; *Hippapæ! quis incumbet remis? Magis capessendum opus. Quid facimus? Nonne ages remum, ô Samphora?* Exsilieruntque in Corinthum: deinde juniores fodiebant ungulis cubilia, et stragula quæsitum ibant, edebant autem cancros pro herba Medica, si quis proreperet foras; quin et in profundo eos venabantur. Proinde Theorus dixit sic locutum esse cancrum Corinthium: *Indignum est, o Neptune, si nec in profundo quidem potero, nec in terra, nec in mari effugere Equites.*

CHORUS, ISICIARIUS, CLEO, DEMUS.

Chor. O carissime hominum et strenuissime, quantam mihi absens exhibuisti curam! Nunc itaque postquam salvus rediisti, narra nobis quomodo rem gesseris.

Is. Quid aliud, quam victoriam in Senatu me adeptum fuisse?

Chor. Nunc ergo par est, ut omnes faustum clamorem tollant. O qui præclara dicis, multo autem præclarioribus factis dicta superas, utinam mihi recenseas omnia perspicue! nam ego mihi videor vel longam viam confecturus, ut auscultem. Proinde, vir optime, dic audacter: nam omnes gratulamur tibi.

Is. Equidem operæ pretium est audire res istas. Nam statim a tergo hinc eum sequutus sum: at ille intus tonantem rumpens vocem, Equites increpuit, monstra et portenta lo-

quens, confragosis verbis incessens, et conjuratos memorans. Quæ quum omnia tanquam vero simillima Senatus audivisset, mendaciis ejus tam facile oppletus est, quam atriplex nascitur, et acerbe intuebatur, frontemque corrugabat. Atque ego, quum jam cognoscerem eum illius verba admittere, et fallaciis decipier, *Agite* inquam, *Dii præsides ignobilitatis et fraudum et stultitiæ et hominum vafrorum atque scurrilium, tuque, ô forum, in quo puer eruditus sum; nunc mihi audaciam, nunc mihi linguam expeditam date et vocem impudentem.* Hæc meditanti mihi a dextra pepedit cinædus quidam, et ego adoravi; deinde podice impetens discussi cancellos, et magno oris hiatu exclamavi: *Viri Senatores, famam bonam adportans, bona renuntiare vobis primum volo: ex quo enim bellum hoc ingruit, nunquam vidi apuas viliores.* Horum autem vultus statim sereni facti sunt: deinde coronam mihi decreverunt ob faustum nuntium. Et ego indicavi eis rem secretam, compendi verba multa faciens, ut apuas emant multas uno obolo, trullas omnes colligerent, quæ apud opifices prostant: Illi vero plauserunt, et me ore hiante spectarunt. At ille animadvertens, Paphlago inquam, non ignarus cujusmodi verbis maxime capiatur Senatus, sententiam dixit: *O viri, jam censeo, quia res lætæ renuntiatæ sunt, ut ob*

Digitized by Google

τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
κρημνοὺς ἐρείπων, καὶ ξυνωμότας λέγων.
πιθανώταθ' ἡ Βουλὴ δ' ἅπασ' ἀκροωμένη,
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
κἄβλεψε νάπυ, καὶ τὰ μέτωπ' ἀνέσπασε.
κἄγωγ', ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους,
καὶ τοῖσι φενακισμοῖσιν ἐξαπατωμένην,
Ἄγε δή, Σκίταλοι, καὶ Φένακες, ἦν δ' ἐγώ,
Βερέσχεθοί τε, καὶ Κόβαλοι, καὶ Μόθων,
ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ,
νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε,
φωνήν τ' ἀναιδῆ---ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
κἀγὼ προσέκυσα· κᾆτα τῷ πρωκτῷ θένων
τὴν κιγκλίδ' ἐξήραξα, κἀναχανὼν μέγα
ἀνέκραγον· Ὦ Βουλή, λόγους ἀγαθοὺς φέρων,
εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι·
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατεῤῥάγη,
οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας.—
τῶν δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισεν·
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φρασα
αὐτοῖς ἀπόῤῥητον, ποιησάμενος ταχύ,
ἵνα τὰς ἀφύας ὤνοιντο πολλὰς τοῦ 'βολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
οἱ δ' ἀνεκρότησαν, καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
ὁ δ' ὑπονοήσας, ὁ Παφλαγών, εἰδὼς ἄρα
οἷς ἥδεθ' ἡ Βουλὴ μάλιστα ῥήμασι,
γνώμην ἔλεξεν· Ἄνδρες, ἤδη μοι δοκεῖ,

ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις,
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ.—
ἐπένευσεν εἰς ἐκεῖνον ἡ Βουλὴ πάλιν.
κᾆγωγ', ὅτε δὴ 'γνων τοῖς βολίτοις ἡττημένος,
διηκοσίῃσι βουσὶν ὑπερηκόντισα·
τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρῄνεσα
εὐχὴν ποιήσασθαι χιμάρων, ἐσαύριον
αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοῦ 'ϐολοῦ.
ἐκαραδόκησεν εἰς ἔμ' ἡ Βουλὴ πάλιν.
ὁ δὲ ταῦτ' ἀκούσας, ἐκπλαγεὶς ἐφληνάφα.
κᾆθ' εἷλκον αὐτὸν οἱ Πρυτάνεις, χ' οἱ τοξόται.
οἱ δ' ἐθορύϐουν περὶ τῶν ἀφύων ἑστηκότες·
ὁ δ' ἠντιϐόλει γ' αὐτοὺς, Ὀλίγον μεῖναι χρόνον,
ἵν', ἅτθ' ὁ κῆρυξ οὑκ Λακεδαίμονος λέγει,
πύθησθ'· ἀφῖκται γὰρ περὶ σπονδῶν λέγων.—
οἱ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον·
Νυνὶ περὶ σπονδῶν; ἐπειδή γ', ὦ μέλε,
ᾔσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας;
οὐ δεόμεθα σπονδῶν· ὁ πόλεμος ἑρπέτω.—
ἐνεκράγεσάν τε τοὺς Πρυτάνεις ἀφιέναι·
εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχοῦ.
ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμὼν
ἅπαντα, τά τε γήτει', ὅσ' ἦν ἐν τῇ 'γορᾷ·
ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
ἀπορούσιν αὐτοῖς προῖκα, κἀχαριζόμην.
οἱ δ' ὑπερεπῄνουν, ὑπερεπύππαζόν τ' ἐμὲ
ἅπαντες οὕτως, ὥστε τὴν Βουλὴν ὅλην
ὀϐολοῦ κοριάννοις ἀναλαϐὼν ἐλήλυθα.

Digitized by Google

bonum nuntium immolentur centum boves Minervæ. Rursus ad illum inclinavit Senatus. At ego animadvertens me bubulo fimo vinci, ducentis additis bobus illum superavi: præterea auctor fui, ut Dianæ mille capellæ voverentur, si cras sardinæ centenæ venirent obolo. Rursus ad me conversus de meo ore pependit Senatus. At ille, his auditis, perculsus, nugas cœpit agere: deinde ipsum traxerunt Prytanes et lictores. Ceteri autem stantes de apuis tumultuabantur: ille vero supplex orabat, ut paulisper exspectarent, *dum,* inquiebat, *ea, quæ caduceator Lacedæmone veniens dicturus est, audiveritis; adest enim de pace ineunda verba facturus.* At illi uno omnes ore clamarunt: *Nunc vero de pace? postquam, ô fatue, senserunt apuas apud nos viles esse? non opus est nobis pace; sed serpat bellum.* Et cum clamore jusserunt Prytanes Senatum dimittere. Deinde omni ex parte cancellos transilierunt. Ego vero clam cursitans coëmi coriandrum omne et porrum, quantum erat in foro: deinde ad apuas condiendas indigentibus ipsis illa dedi, et gratiis largitus sum. Illi vero supra modum laudabant, et mihi blandiebantur omnes, adeo ut, Senatu universo ad meas partes adducto, adsim, ob unius oboli coriandra viritim data.

Digitized by Google

Cleo. Ita prorsus rem gessisti, uti fortunatum decet hominem: invenit autem veterator ille alium præstigiis multo majoribus ornatum, et omnigenis dolis, et verborum illecebris. Sed meditare, ut quam optime perficias reliquam partem certaminis: adjutores autem nos te habere benevolos scis dudum.

Is. Sed eccum accedit Paphlago, fluctus vano conatu propellens, et turbans et miscens, non secus ac si me deglutire velit. Vah confidentiam!

Cleo. Nisi te disperdam, si quid veterum mihi mendaciorum inest, omnibus exemplis intercidam!

Is. Suave mihi est audire tuas minas; rideo fumos tuæ jactantiæ, saltito, mothonem alta voce canto.

Cleo. Ita me Ceres amet, nisi te exedam ex hac terra, non amplius vivam!

Is. *Nisi me exedas*? Ego vero peream, nisi te ebibam, teque exsorpto disrumpar!

Cleo. Disperdam te, per primam sedem juro, quam ob Pylum adeptus sum.

Is. Ecce vero *primam sedem!* vah! ut ego te videbo ex prima illa sede ad ultima theatri subsellia relegatum!

Cleo. In nervo te constringam, per Cœlum juro.

Is. Quam iracundus es! age, quid tibi dem edere? quid tibi velles anteponi, quod lubentissime comederes? an crumenam?

Cleo. Evellam tibi unguibus intestina.

Is. Præcidam tibi, quasi ungues, cibos quos ex Prytaneo capis.

Cleo. Ad populum te traham, ut mihi pœnas des.

Digitized by Google

Χο. πάντα δὴ πέπραγας, οἷα χρὴ τὸν εὐτυχοῦντα·
εὗρε δ᾽ ὁ πανοῦργος ἕτερον, πολὺ πανουργίαις
μείζοσι κεκασμένον,
καὶ δόλοισι ποικίλοις,
ῥήμασίν θ᾽ αἱμύλοις.
ἀλλ᾽ ὅπως ἀγωνιεῖ φρόντιζε τἀπί-
λοιπ᾽ ἄριστα· ξυμμάχους δ᾽ ἡμᾶς ἔχων εὔ-
νους ἐπίστασαι πάλαι.

Αλ. καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται,
ὠθῶν κολόκυμα, καὶ ταράττων, καὶ κυκῶν,
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.

Κλ. εἰ μή σ᾽ ἀπολέσαιμ᾽, εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.

Αλ. ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
ἀπεπυδάρισα μόθωνα, περιεκόκκυσα.

Κλ. οὔ τοι, μὰ τὴν Δήμητρ᾽, ἐὰν μή σ᾽ ἐκφάγω
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.

Αλ. ἢν μὴ ᾽κφάγῃς; ἐγὼ δέ, σ᾽ ἢν μή γ᾽ ἐκπίω,
κἀπεκροφήσας αὐτὸς ἐπιδιαρραγῶ.

Κλ. ἀπολῶ σε, νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.

Αλ. ἰδοὺ προεδρίαν· οἷον ὄψομαί σ᾽ ἐγὼ
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.

Κλ. ἐν τῷ ξύλῳ δήσω σε, νὴ τὸν οὐρανόν.

Αλ. ὡς ὀξύθυμος. φέρε, τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φάγοις ἥδιστ᾽ ἄν; ἐπὶ βαλαντίῳ;

Κλ. ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.

Αλ. ἀπονυχιῶ σου τἀν Πρυτανείῳ σιτία.

Κλ. ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.

Digitized by Google

Αλ. κἀγώ δέ σ' ἕλξω, καὶ διαβαλῶ πλείονα.
Κλ. ἀλλ', ὦ πονηρὲ, σοὶ μὲν οὐδὲν πείθεται·
ἐγὼ δ' ἐκείνου καταγελῶ γ', ὅσον θέλω.
Αλ. ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας.
Κλ. ἐπίσταμαι γὰρ αὐτὸν, οἷς ψωμίζεται.
Αλ. κᾆθ', ὥσπερ αἱ τίτθαι γε, σιτίζεις κακῶς.
μασώμενος γὰρ, τῷ μὲν ὀλίγον ἐντιθεῖς·
αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.
Κλ. καὶ, νὴ Δί', ὑπό γε δεξιότητος τῆς ἐμῆς,
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.
Αλ. χὠ πρωκτὸς οὑμὸς τουτοῒ σοφίζεται.
Κλ. οὐκ, ὦ 'γάθ', ἐν Βουλῇ με δόξεις καθυβρίσαι.
ἴωμεν εἰς τὸν δῆμον.
Αλ. οὐδὲν κωλύει.
ἰδοὺ, βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω.
Κλ. ὦ Δῆμε, δεῦρ' ἔξελθε, νὴ Δί', ὦ πάτερ.
Αλ. ἔξελθε δῆτα, Δημίδιον ὦ φίλτατον.
Δη. τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
Κλ. ἔξελθ', ἵν' εἰδῇς οἷά περ γ' ὑβρίζομαι.
Δη. τίς, ὦ Παφλαγὼν, ἀδικεῖ σε;
Κλ. διὰ σὲ τύπτομαι
ὑπὸ τουτουῒ, καὶ τῶν νεανίσκων.
Δη. τιή;
Κλ. ὁτιὴ φιλῶ σ', ὦ Δῆμ' ἐραστής τ' εἰμὶ σός.
Δη. σὺ δ' εἶ τίς ἐτεόν;
Αλ. ἀντεραστὴς τουτουῒ,
ἐρῶν πάλαι σου, βουλόμενός τέ σ' εὖ ποιεῖν,

Digitized by Google

Is. At ego te traham, et complurium te criminum accusabo.

Cleo. At, ô improbe, tibi non credit: ego vero ipsum ludificor, quantum volo.

Is. Quam valde existimas populum tuum esse!

Cleo. Enim scio quibus ferculis capiatur.

Is. At, quemadmodum nutrices solent, maligne ipsum cibas. Nam præmandens, pauxillo ei in os indito, ipse triplo plus deglutis.

Cleo. Quin hercle, quæ mea est solertia, populum et amplum et angustum facere queo.

Is. Quippini? culus etiam meus hoc scite facit.

Cleo. O bone, ne putes te in senatu mihi illudere: ad populum eamus.

Is. Nihil impedit: en perge; nobis ne sit quicquam moræ.

Cleo. O Deme, huc egredere, per Jovem obtestor, ô pater.

Is. Egredere sane, Demule carissime.

Dem. Quinam sunt qui clamant? nonne abibitis ab ostio? olivæ ramum januæ appensum mihi convulsistis.

Cleo. Egredere, ut videas quibus adficior contumeliis.

Dem. Quisnam injuriis te lacessit, Paphlago?

Cleo. Propter te verberor ab isto et ab his adolescentibus.

Dem. Quare?

Cleo. Quia te colo et sum amator tuus.

Dem. Tu vero quis es scilicet?

Is. Rivalis sum hujusce, qui te dudum amo, cupiens tibi benefacere, ut et alii multi boni et probi viri: sed non possumus,

Digitized by Google

propter huncce: tu enim similis es pueris illis, qui amatores habent: bonos et probos non admittis; sed te ipsum venditoribus lucernarum, iisque qui coria consuunt, aut secant, aut vendunt dedis.

CLEO. Merito: nam populo bene facio.

IS. Dic ergo qua ratione.

CLEO. Quia præfectos exercitus ad Pylum circumveniens, quum illuc navigassem, Laconas huc adduxi.

IS. Ego vero circuiens ex taberna ollam surripui cum cibo, quem alius coxerat.

CLEO. Sed ocius conventum age, mi Deme, ut cognoscas uter nostrûm sit tibi benevolentior, et dijudica, ut illum ames.

IS. Quæso, inquam, dijudica, modo ne in Pnyce.

DEM. Nolim in alio loco considere; sed, ut antea, cives oportet convenire in Pnycem.

IS. Væ misero mihi! ut perii! nam senex hicce domi quidem vir est sapientissimus: quum vero in ista rupe sedet, tam hianti ore stupet, quam qui ficus alligans, petiolis fractis hæret.

CHOR. Nunc funes omnes movere te oportet, et animum præsentem adferre solertemque, et orationem captiosam, ut istis hunc superes. Est enim homo versipellis, quique impedita expedire facile potest. Proinde opera danda tibi est, ut multus et vehemens contra illum prodeas; sed cave tibi, et prius quam

Digitized by Google

ἄλλοι τε πολλοὶ, καὶ καλοί τε κἀγαθοί.
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
σαυτὸν δὲ λυχνοπώλῃσι, καὶ νευῤῥάφοις,
καὶ σκυτοτόμοις, καὶ βυρσοπώλῃσιν δίδως.

Κλ. εὖ γὰρ ποιῶ τὸν δῆμον.

Αλ. εἰπέ νυν, τί δρῶν;

Κλ. ὅτι τοὺς στρατηγοὺς ὑποδραμὼν τοὺς ἐν Πύλῳ,
πλεύσας ἐκεισε, τοὺς Λάκωνας ἤγαγον.

Αλ. ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου,
ἕψοντος ἑτέρου, τὴν χύτραν ὑφειλόμην.

Κλ. καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
ὦ Δῆμ', ἵν' εἰδῇς, ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον, ἵν' ἐκεῖνον φιλῇς.

Αλ. ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ Πνυκί.

Δη. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ·
ἀλλ', ὡς τὸ πρόσθε, χρὴ παρεῖναι 'ς τὴν Πνύκα.

Αλ. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
οἴκοι μὲν ἀνδρῶν ἐστὶ δεξιώτατος·
ὅταν δ' ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
κέχηνεν, ὥσπερ ἐμποδίζων ἰσχάδας.

Χο. νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ,
καὶ λῆμα θούριον φορεῖν, καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνὴρ,
κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνος πορίζειν.
πρὸς ταῦθ' ὅπως ἔξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί σοι, πρότερος σύ.

Digitized by Google

τοὺς δελφῖνας μετεωρίζου, καὶ τὴν ἄκατον παράβαλλου.

Κλέων.

τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ, τῇ τῆς πόλεως μεδεούσῃ,
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα, καὶ Κύνναν καὶ Σαλαβάκχαν,
ὥσπερ νυνὶ, μηδὲν δράσας δειπνεῖν ἐν τῷ Πρυτανείῳ.
εἰ δέ σε μισῶ, καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβληκὼς,
ἀπολοίμην, καὶ διαπρισθείην, διατμηθείην τε λέπαδνα.

Ἀλλαντοπώλης.

κἄγωγ', ὦ Δῆμ', εἰ μή σε φιλῶ, καὶ μὴ στέργω, κατατμηθεὶς
ἑψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποιθας,
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ,
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.

Κλέων.

καὶ πῶς ἂν ἐμοῦ μᾶλλον σε φιλῶν, ὦ Δῆμε, γένοιτο πολίτης;
ὃς πρῶτα μὲν ἡνίκ' ἐβούλευόν σοι, χρήματα πλεῖστ' ἀπέδειξα
ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν, τοὺς δ' ἄγχων, τοὺς δὲ μεταιτῶν,
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενὸς, εἴ σοι χαριζοίμην.

Ἀλλαντοπώλης.

τοῦτο μὲν, ὦ Δῆμ', οὐδὲν σεμνόν. κἀγὼ γὰρ τοῦτό σε δράσω·
ἁρπάζων γὰρ τοὺς ἄρτους σοὶ τοὺς ἀλλοτρίους παραθήσω.
ὡς δ' οὐχὶ φιλεῖ σ', οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω,
ἀλλ' ἢ διὰ τοῦτ' αὔθ', ὁτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
σὲ γὰρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι,
καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως·
οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,
κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.

Digitized by Google

ille impetum in te faciat, tu prior delphinas erige, et lembum appelle.

Cleo. Deam Minervam præsidem hujus urbis precor, si erga populum Atheniensem sum optime post Lysidem et Cynnam et Salabaccham adfectus, ut, quemadmodum nunc, nihil agendo cibum capiam in Prytaneo: si autem te odi, et non pro te pugno, solum me obponens, peream, et serra dissecer, et discindar in lora jugalia.

Is. Et ego, mi Deme, si te non amo et magni facio, coquar dissectus in tenuissima minutalia: atque si his verbis non credis, super hac mensa minutissime radar cum caseo in moreto, et harpagine correptis testiculis trahar in Ceramicum.

Cleo. At, ô Deme, quomodo exsistere possit civis, qui te magis amet, quam ego? præcipue quum tibi meis consiliis utenti conlocupletaverim ærarium, alios torquendo, alios angendo, ab aliis petendo; non curans privatorum ullum, dum tibi gratificarer.

Is. Istud quidem, ô Deme, nihil habet præclari: nam idem præstabo et ego: alienos enim panes rapiens anteponam tibi. Primum autem id te docebo, hunc te non amare, nec tibi esse benevolum, nisi propter id ipsum, quod pruna tua perfruitur. Etenim te, qui cum Persis de hac regione digladiatus es Marathone, et victo hoste effecisti, ut possimus nostras res gestas magnifice crepare, non respicit, tam duriter sedentem super his lapidibus, sicut ego, qui hoc pulvinar consui et tibi fero. Age vero surge, deinde sede molliter, ne atteras podicem illum, qui in prælio ad Salaminem laboravit.

Digitized by Google

Dem. Mi homo, quis es? num aliquis de prosapia Harmodi? Nam revera præclarum est hoc facinus et oppido populare.

Cleo. Quam parvis a blandimentis ei benevolus factus es!

Is. Nam tu quoque rebus multo levioribus eum inescasti.

Cleo. Immo si quisquam visus est unquam, qui magis pugnet pro populo, aut qui te magis amet quam ego, capitis certamen inire volo.

Is. Et quomodo tu illum amas, quem quum videas octavum jam annum habitare in doliis et turriculis, ejus non misereris tamen, sed inclusum fumo enecas, et offerente pacem Archeptolemo, eam dissipasti, legatosque abigis ab urbe, pede nates eorum verberans, qui ad inducias invitant.

Cleo. Nempe ut Græcis omnibus imperet. Exstat enim in vaticiniis fore, ut ille in Arcadia quinos obolos pro judiciali mercede accipiat, si exspectaverit. Utique alam ego hunc et curabo, atque inveniam qua jure quave injuria, unde triobolum habeat.

Is. Non ideo hercle, ut hic imperet Arcadiæ, satagis, sed ut magis rapias, et plura dona captes ab urbibus; populus autem propter belli caliginem tuas sutelas non videat, sed necessitate et inopia, stipendique cupiditate ore hiante te spectet. Quod si aliquando ipse in agrum reversus vixerit in pace, et esu granorum recentis frumenti se recrearit, et olivas convenerit, cog-

Digitized by Google

Δῆμος.

ἄνθρωπε, τίς εἶ; μῶν ἔκγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
τοῦτό γε τοὔργον ἀληθῶς ἐστὶν γενναῖον καὶ φιλόδημον.

Κλέων.

ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.

Ἀλλαντοπώλης.

καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἷλες.

Κλέων.

καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων,
ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.

Ἀλλαντοπώλης.

καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖς πιθάκναισι,
καὶ γυπαρίοις, καὶ πυργιδίοις ἔτος ὄγδοον, οὐκ ἐλεαίρεις;
ἀλλὰ καθείρξας αὐτὸν βλίττεις· Ἀρχεπτολέμου δὲ φέροντος
τὴν εἰρήνην ἐξεσκέδασας, τὰς πρεσβείας τ' ἀπελαύνεις
ἐκ τῆς πόλεως, ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται.

Κλέων.

ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν,
ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι,
ἢν ἀναμείνῃ· πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
ἐξευρίσκων εὖ καὶ μιαρῶς, ὁπόθεν τὸ τριώβολον ἕξει.

Ἀλλαντοπώλης. [μᾶλλον

οὐχ ἵνα γ' ἄρξῃ, μὰ Δί', Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα
σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων· ὁ δὲ δῆμος
ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης, ἃ πανουργεῖς, μὴ καθορᾷ σε,
ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας, καὶ μισθοῦ πρός σε κεχήνῃ.
εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψει,
καὶ χίδρα φαγὼν ἀναθαρρήσει, καὶ στεμφύλῳ εἰς λόγον ἔλθοι,

Digitized by Google

γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου·
εἶθ' ἥξει σοι δριμὺς ἄγροικος, κατά σου τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων τόνδ' ἐξαπατᾷς, καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.

Κλέων.

οὔκουν δεινὸν ταυτί σε λέγειν δῆτ' ἔς τ' ἐμὲ, καὶ διαβάλλειν
πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστὰ,
νὴ τὴν Δήμητρα, Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη.

Ἀλλαντοπώλης.

ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει. σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν, εὑρὼν ἐπιχειλῆ·
καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν,
ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε.
σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι,
διατειχίζων, καὶ χρησμῳδῶν, ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
κἀκεῖνος μὲν φεύγει τὴν γῆν· σὺ δ' Ἀχιλλείων ἀπομάττει.

Κλέων.

οὔκουν ταυτὶ δεινὸν ἀκούειν, ὦ Δῆμ', ἐστίν μ' ὑπὸ τούτου,
ὁτιή σε φιλῶ;

Δῆμος.

παῦσαί γ' οὗτος, καὶ μὴ σκέρβολλε πονηρά.
πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθης ἐγκρυφιάζων.

Ἀλλαντοπώλης.

μιαρώτατος, ὦ Δημακίδιον, καὶ πλεῖστα πανοῦργα δεδρακὼς,
ὁπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς
τῶν εὐθυνῶν ἐκκαυλίζων,
καταβροχθίζει, κἀμφοῖν χειροῖν
μυστιλλᾶται τῶν δημοσίων.

Κλ. οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ'

noscet cujusmodi bona ei præcideris propter stipendia. Deinde tibi redibit exacerbatus et ferus, calculum contra te quærens. Quæ quum tu scias, hunc decipis, et somnia tua jactas.

Cleo. Annon vero indignum est te hæc in me dicere, et calumniari apud Athenienses et populum, qui præclarius jam multo meritus sum de republica, quam Themistocles, ita me Ceres amet?

Is. *O cives Argivi, audite qualia dicut.* Tune Themistocli te æquiparas? qui quum plenam ad labra usque nostram urbem reperisset, eam redundantem fecit: præterea prandenti ei Piræeum insuper pinsuit, et, nihil de pristinis amovens, novos pisces adposuit. At tu studuisti urbem Atheniensium parvam facere, interpositis muris eam dividens, oracula canens, qui te Themistocli æquiparas. Et ille quidem abit in exsilium; tu vero Achilleis placentis vesceris.

Cleo. Annon acerbum est, ô Deme, hæc me ab isto audire, quia te amo?

Dem. Heus tu, quiesce, neve conviciis eum pete. Nam sat longo tempore me clam defraudasti.

Is. Impurissimus est, ô Demule, et multa nequiter egit, te oscitante, caulesque repetundarum succidens deglutit, et ambabus manibus inferciens, haurit reipublicæ bona.

Cleo. Faxo ego ut non gaudeas; nam te furatum esse tres myriadas convincam.

Digitized by Google

Is. Quid tumultuaris? quid strepitas? qui pessimus es erga populum Atheniensem. Et te ostendam, ita me Ceres amet, aut ne vivam, ex Mitylene plus quam quadraginta minas dono accepisse.

Chor. O qui omnibus hominibus maximo emolumento exortus es, beatum te prædico ob dicendi facultatem; si enim ita perrexeris, maximus eris Græcorum, et solus tenebis rempublicam, sociisque imperabis, tridentem gerens, quo magnam pecuniæ vim conficies, quatiens et turbans. Sed ne dimittas hominem, postquam tibi ansam præbuit: facile enim eum vinces, ejusmodi habens latera.

Cleo. Nondum, ô boni, eo rediit res, ita me Neptunus amet; exstat enim meum quoddam facinus adeo præclarum, ut omnibus meis inimicis os obturare possim, quamdiu aliquid supererit de clypeis in Pylo captis.

Is. Subsiste in mentione clypeorum; nam mihi ansam dedisti. Non enim debueras, si populum amas, consulto sinere eos cum amentis dedicarier. Sed est hæc, ô Deme, molitio quædam, ut, si tu velis hunc hominem castigare, tibi non liceat. Vides enim, ut sit illi constipata ista caterva coria vendentium juvenum: circa istos habitant venditores mellis et caseorum, qui omnes in unum conspirant. Proinde, si tu frendeas iratus, et exsilium illi mediteris, deceptis noctu istis clypeis occurrerent ad occupanda granaria nostra.

Digitized by Google

αἱρήσω 'γὼ τρεῖς μυριάδας.
Αλ. τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
μιαρώτατος ὢν περὶ τὸν δῆμον
τὸν Ἀθηναίων; καί σ' ἐπιδείξω,
νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
δωροδοκήσαντ' ἐκ Μιτυλήνης
πλεῖν ἢ μνᾶς τετταράκοντα.
Χο. ὦ πᾶσιν ἀνθρώποισι φανεὶς μέγιστον ὠφέλημα,
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει, καὶ μόνος καθέξεις
τἀν τῇ πόλει, τῶν ξυμμάχων τ' ἄρξεις, ἔχων τρίαιναν,
ᾗ πολλὰ χρήματ' ἐργάσει, σείων τε καὶ ταράττων.
καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκε·
κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.
Κλ. οὐκ, ὦ 'γαθοί, ταῦτ' ἐστί πω ταύτῃ, μὰ τὸν Ποσειδῶ.
ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον, ὥστε
ἁπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν,
ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν.
Αλ. ἐπίσχες ἐν ταῖς ἀσπίσιν· λαβὴν γὰρ ἐνδέδωκας.
οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
ἀλλ' ἔστι τοῦτ', ὦ Δῆμε, μηχάνημ' ἵν', ἢν σὺ βούλῃ
τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'κγένηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
καὶ τυροπῶλαι· τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός.
ὥστ' εἰ σὺ βριμήσαιο, καὶ βλέψειας ὀστρακίνδα,
νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας, θέοντες

Digitized by Google

τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.
Δη. οἴμοι τάλας· ἔχουσι γὰρ πόρπακας; ὦ πονηρὲ,
ὅσον με παρεκόπτου χρόνον, τοιαῦτα κρουσιδημῶν.
Κλ. ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰηθῇς
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον'· ὅστις εἷς ὢν
ἔπαυσα τοὺς ξυνωμότας· καί μ' οὐ λέληθεν οὐδὲν
ἐν τῇ πόλει ξυνιστάμενον· ἀλλ' εὐθέως κίκραγα.
Αλ. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι. καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
ἓν δ' εἰπέ μοι τοσουτονί. σκύτη τοσαῦτα πωλῶν,
ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ
ταῖς ἐμβάσιν, φάσκων φιλεῖν;
Δη. οὐ δῆτα, μὰ τὸν Ἀπόλλω.
Αλ. ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν. ἀλλ' ἐγώ σοι
ζεῦγος πριάμενος ἐμβάδων τουτὶ, φορεῖν δίδωμι.
Δη. κρίνω σ', ὅσον γ' ἐγᾦδα, περὶ τὸν δῆμον ὄντ' ἄριστον,
εὐνούστατόν τε τῇ πόλει, καὶ τοῖσι δακτύλοισιν.
Κλ. οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνασθαι,
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας; ὅς τις
ἔπαυσα τοὺς βινουμένους, τὸν Γρύττον ἐξαλείψας.
Αλ. οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτηρεῖν,
παῦσαί τε τοὺς βινουμένους; κοὐκ ἔσθ' ὅπως ἐκείνους
οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένωνται.
τονδὶ δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον,
οὐπώποτ' ἀμφιμασχάλου τὸν Δῆμον ἠξίωσας,
χειμῶνος ὄντος· ἀλλ' ἐγώ σοι τουτονὶ δίδωμι.

Digitized by Google

DEM. Væ misero mihi! ergone habent amenta? ô sceleste, quam diu me decepisti et fraudasti!

CLEO. O bone, ne te sinas a quovis dicente persuaderi, neve putes me ipso unquam te inventurum amicum meliorem: qui solus conjuratos compescui: neque me latet ulla conspiratio in urbe, sed statim vociferari soleo.

IS. Quippe idem facis, quod qui piscantur anguillas. Si enim lacus sit sedatus, nihil capiunt: quum autem sursum deorsum cœnum pertubaverint, capiunt. Tu quoque capis, quando civitatem turbas. Unum vero dic mihi hoc: quum tot coria vendas, dedistine unquam huicce de tuo soleam ad calceos, tu, qui te amare eum dicis?

DEM. Non sane hercle.

IS. Ergone cognoscis eum qualis sit homo? at ego tibi hocce par calceorum emi et do gestandum.

DEM. Judico te omnium, quod sciam, optime de populo meritum esse, et benevolentissimum te esse reipublicæ atque digitis pedum.

CLEO. Annon ergo acerbum est calceos quidem apud te tantum valere, meorum autem erga te meritorum te oblivisci, qui compescui cinædos, deleto Grytto?

IS. Annon ergo acerbum est, te culos quidem inspectare, et cinædos compescere? quamvis omnino ex invidia compescueris eos, ut nulli in posterum oratores existant. Hunc autem istac ætate Demum quum videas carere tunica, nunquam hiberno tempore dignatus es eum veste utrinque manicata: at ego tibi istam do.

Digitized by Google

Dem. Tale quid Themistocles nunquam excogitavit; quamvis solers et illa sit Pyræei munitio, non majus illud videtur inventum, quam hocce tunicæ.

Cleo. Væ misero mihi! qualibus me adulationibus exagitas!

Is. Minime: sed id facio, quod poti solent, quum cacaturiunt: nam ut illi soleis alienis, ita ego tuis utor moribus.

Cleo. Sed non superabis me palpationibus. Nam ego superinduam ei hanc vestem; tu vero plora, improbe.

Dem. Phui! nonne in maximam malam crucem ibis, qui pessime corium oles?

Is. Et de industria tibi istam vult induere, ut te suffocaret. Antea etiam tibi insidiatus est: meministin' quum caulis laserpiti vili pretio veniret?

Dem. Equidem memini.

Is. Data opera iste effecit ut vili veniret, ut ementes ederetis, deinde in Heliæa judices visiendo sese invicem enecarent.

Dem. Ita me Neptunus amet, idem mihi stereorarius quidam dixit.

Is. Annon tunc tam crebro visientes pudore suffundebamini?

Dem. Sane hercle fuit hoc Pyrrhandri commentum.

Cleo. Qualibus, ô improbe, scurramentis me turbas!

Is. Dea enim me jussit vincere te jactantia.

Cleo. At non vinces me. Ego enim aio me tibi daturum, ô Deme, nihil agenti sorbere catinum mercedis judiciariæ.

Is. Ego vero tibi pyxidem et medicamentum do, ut tibiarum ulcera tibi circumungas.

Cleo. Ego vero canos tuos legens, juvenem te faciam.

Is. Hem, accipe caudam leporinam, ut tibi ocellos circumtergeas.

Digitized by Google

Δη. τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησε·
καίτοι σοφὸν κᾀκεῖν' ὁ Πειραιεύς· ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνος.
Κλ. οἴμοι τάλας, οἵοις πιθηκισμοῖς με περιελαύνεις.
Αλ. οὔκ· ἀλλ' ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ,
τοῖσιν τρόποις τοῖς σοῖσιν, ὥσπερ βλαυτίοισι, χρῶμαι.
Κλ. ἀλλ' οὐχ ὑπερβαλεῖ με θωπείαις· ἐγὼ γὰρ αὐτὸν
προσαμφιῶ τοδί· σὺ δ' οἴμωζ', ὦ πόνηρε.
Δη. αἰβοῖ·
οὐκ ἐς κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;
Αλ. καὶ τοῦτ' ἐπίτηδές σε περιήμπισχέν γ', ἵνα σ' ἀποπνίξῃ·
καὶ πρότερον ἐπεβούλευσέ σοι. τὸν καυλὸν οἶσθ' ἐκεῖνον,
τὸν σιλφίου, τὸν ἄξιον γενόμενον;
Δη. οἶδα μέντοι.
Αλ. ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
ἵν' ἐσθίοιτ' ὠνούμενοι, κᾆπειτ', ἐν Ἡλιαίᾳ
βδέοντες, ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.
Δη. νὴ τὸν Ποσειδῶ, καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ κόπρειος.
Αλ. οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοι δήπου 'γένεσθε πυῤῥοί;
Δη. καὶ νὴ Δί' ἦν γε τοῦτο Πυῤῥάνδρου τὸ μηχάνημα.
Κλ. οἵοισί μ', ὦ πονηρὲ, βωμολοχεύμασιν ταράττεις;
Αλ. ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείᾳ.
Κλ. ἀλλ' οὔ με νικήσεις. ἐγὼ γὰρ φημί σοι παρέξειν,
ὦ Δῆμε, μηδὲν δρῶντι, μισθοῦ τρυβλίον ῥοφῆσαι.
Αλ. ἐγὼ δὲ κυλίχνιόν τέ σοι, καὶ φάρμακον δίδωμι,
τἀν τοῖσιν ἀντικνημίοις ἑλκύδρια περιαλείφειν.
Κλ. ἐγὼ δὲ τὰς πολιάς γέ σου 'κλέγων, νέον ποιήσω.
Αλ. ἰδοὺ δέχου κέρκον λαγὼ, τὼ 'φθαλμιδίω περιψῇν.

Digitized by Google

Κλ. ἀπομυξάμενος, ὦ Δῆμ', ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ.
Αλ. ἐμοῦ μὲν οὖν, ἐμοῦ μὲν οὖν.
Κλ. ἐγώ σε ποιήσω τριη-
ραρχεῖν, ἀναλίσκοντα τῶν
σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ',
εἰς ἣν ἀναλῶν οὐκ ἐφέ-
ξεις, οὐδὲ ναυπηγούμενος·
διαμηχανήσομαί θ', ὅπως
ἂν ἱστίον σαπρὸν λάβῃς.
Χο. ἀνὴρ παφλάζει· παῦε, παῦ'
ὑπερζέονθ'· ὑφελκτέον
τι τῶν ξύλων· ἀπαρυστέον
τε τῶν ἀπειλῶν ταυτηΐ.
Κλ. δώσεις ἐμοὶ καλὴν δίκην,
ἰπούμενος ταῖς εἰσφοραῖς.
ἐγὼ γὰρ εἰς τοὺς πλουσίους
σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.
Αλ. ἐγὼ δ' ἀπειλήσω μὲν οὐ-
δέν· εὔχομαι δέ σοι ταδί.
τὸ μὲν τάγηνον τευθίδων
ἐφεστάναι σίζον· σὲ δὲ
γνώμην ἐρεῖν μέλλοντα περὶ
Μιλησίων, καὶ κερδανεῖν
τάλαντον, ἣν κατεργάσῃ,
σπεύδειν, ὅπως τῶν τευθίδων
ἐμπλήμενος φθαίης ἔτ' εἰς
ἐκκλησίαν ἐλθεῖν· ἔπει-
τα πρὶν φαγεῖν, ἀνὴρ μεθή-

Digitized by Google

CLEO. Quum te emunxeris, ô Deme, in caput meum digitos bsterge.

Is. Immo in meum, immo in meum.

CLEO. Faxo ego, ut triremem instruas tua impensa, ita ut vem veterem habens, in eam tibi sumtuum nullus sit finis, ec fabricationis: comminiscar etiam, ut putre velum accias.

CHOR. Homo iste ebullit: seda, seda effervescentem; subacendum aliquid de lignis; despumandum de minis nonnihil to cochleari.

CLEO. Dabis mihi pulchre pœnas, tributis pressus: ego im operam dabo, ut inter divites censearis.

Is. Ego vero minabor quidem nihil; opto autem tibi hæc: sartago quidem cum sepiis stet super igne stridens: tu aum rogationem laturus de Milesiis, et lucraturus talentum, si m confeceris, properes sepiis te ingurgitare, priusquam in

Digitized by Google

concionem eas: deinde, antequam ederis, arcessat te aliquis, ut tu talentum accipere volens, vorando suffoceris.

CHOR. Belle, ita me Jupiter amet, et Apollo, et Ceres.

DEM. Et sane videtur mihi cetera etiam esse manifesto bonus civis, qualis nemo ad hoc tempus vir exstitit hominibus istis, quorum complures veneunt obolo. Tu vero, Paphlago, qui te mei amantem esse dicis, me exacerbasti, et nunc redde mihi anulum; nam non amplius opum mearum custos eris.

CLEO. Habe tibi. Hoc tamen scias velim, si me non sines procurare rempublicam, nequiorem me ipso alium denuo exoriturum.

DEM. Fieri nequit, ut iste sit meus anulus: sane signum aliud videtur esse, nisi forte parum cernunt oculi.

Is. Fac sciam quid signi tibi fuerit.

DEM. Bubulæ adipis thrium assatum.

Is. Non illud est.

DEM. Non thrium? quid vero?

Is. Mergus hians super petra loquens pro concione.

DEM. Au! miser ego!

Is. Quid est?

DEM. Aufer hinc procul. Non meum habuit, sed Cleonymi. Hunc autem accipe a me, et penum meam administra.

CLEO. Nondum etiam, ô here mi, obsecro te, priusquam oracula mea audias.

Digitized by Google

κοι, καὶ σὺ, τὸ τάλαντον λαβεῖν
βουλόμενος. ἐ-
σθίων ἀποπνιγείης.
Χο. εὖ γε, νὴ τὸν Δία, καὶ τὸν Ἀπόλλω,
καὶ τὴν Δήμητρα.
Δη. κἀμοὶ δοκεῖ καὶ τἄλλα γ' εἶναι καταφανῶς
ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοῦ 'βολοῦ.
σὺ δ', ὦ Παφλαγὼν, φάσκων φιλεῖν μ', ἐσκορόδισας.
καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκ ἔτι
ἐμοὶ ταμιεύσεις.
Κλ. ἔχε· τοσοῦτον δ' ἴσθ', ὅτι
εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
ἐμοῦ πανουργότερός τις ἀναφανήσεται.
Δη. οὐκ ἔσθ' ὅπως ὁ δακτύλιος ἔσθ' οὑτοσὶ
οὑμός· τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
ἀλλ' ἢ οὐ καθορῶ.
Αλ. φέρ' ἴδω, τί σοι σημεῖον ἦν;
Δη. δημοῦ βοείου θρῖον ἐξωπτημένον.
Αλ. οὐ τοῦτό γ' ἔστιν.
Δη. οὐ τὸ θρῖον; ἀλλὰ τί;
Αλ. λάρος κεχηνὼς ἐπὶ πέτραις δημηγορῶν.
Δη. αἰβοῖ τάλας.
Αλ. τί ἔστιν;
Δη. ἀπόφερ' ἐκποδών.
οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν, ταμίευέ μοι.
Κλ. μὴ δῆτά πω γ', ὦ δέσποτ', ἀντιβολῶ σ' ἐγὼ

πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.

Αλ. καὶ τῶν ἐμῶν νυν.

Κλ. ἀλλ', ἐὰν τούτῳ πιθῇ,

μολγὸν γενέσθαι δεῖ σε.

Αλ. κἄν γε τουτωΐ,

ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυῤῥίνου.

Κλ. ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν, ὡς ἄρξαι σε δεῖ

χώρας ἁπάσης, ἐστεφανωμένον ῥόδοις.

Αλ. οἱ 'μοὶ δέ γ' αὖ λέγουσιν, ὡς ἁλουργίδα

ἔχων κατάπαστον, καὶ στεφάνην, ἐφ' ἅρματος

χρυσοῦ διώξεις Σμικύθην καὶ κύριον.

Κλ. καὶ μὴν ἔνεγκ' αὐτοὺς ἐσιὼν, ἵν' οὑτοσὶ

αὐτῶν ἀκούσῃ.

Αλ. πάνυ γε.

Δη. καὶ σύ νυν φέρε.

Κλ. ἰδού.

Αλ. ἰδοὺ, νὴ τὸν Δί'· οὐδὲν κωλύει.

Χο. ἥδιστον φάος ἡμέρας

ἔσται τοῖσι παροῦσι, καὶ

τοῖσιν ἀφικνουμένοισιν,

ἢν Κλέων ἀπόληται.

καίτοι πρεσβυτέρων τινῶν,

οἵων ἀργαλεωτάτων,

ἐν τῷ δείγματι τῶν δικῶν

ἤκουσ' ἀντιλεγόντων,

ὡς εἰ μὴ γένοιθ' οὗτος ἐν

τῇ πόλει μέγας, οὐκ ἂν ἤ-

στην σκεύη δύο χρησίμω,

Digitized by Google

Is. Et mea ergo.

Cleo. Sed si huic credas, cœcum te fieri necesse est.

Is. Et si huic, verpum te fieri necesse est usque ad pectinem.

Cleo. Immo mea oracula dicunt fore, ut imperes universæ terræ, coronatus rosis.

Is. Mea vero dicunt, ut purpureo indutus sago acu picto et coronatus in aureo curru persequaris Smicythem et dominum.

Cleo. Quin abi et affer illa, ut hic audiat ea.

Is. Maxime.

Dem. Tu etiam affer tua.

Cleo. Ecce eo.

Is. Ecce hercle eo: nihil impedit.

Chor. Jucundissima lux hujus erit die præsentibus et advenantibus, si Cleo perierit: quamvis seniores quosdam morosissimos in digmate litium audivi contradicere: *Si iste non evasisset magnus in Republica, non exstitura fuisse duo ista utilia vasa, pistillum et truam.* Sed hoc etiam illius demiror porcinæ eru-

Digitized by Google

ditionis: pueri enim, qui cum eo ludum frequentarunt, dicunt ad solam Doricam harmoniam fides eum aptare consuevisse, aliam vero noluisse discere; deinde citharistam iratum abduci eum jussisse, cum hoc dicto: *Harmoniam puer iste non potis est addiscere, nisi quæ nomine refert munera.*

CLEO, ISICIARIUS, DEMUS, CHORUS.

CLEO. En, specta; necdum omnia effero.

IS. Hei mihi! quam valde cacaturio! necdum omnia effero.

DEM. Quænam sunt ista?

CLEO. Oracula.

DEM. Omniane?

CLEO. Miraris? atqui hercle adhuc est mihi una arca plena.

IS. Mihi autem cœnaculum et duo conclavia.

DEM. Facite sciam cujusnam sint hæc oracula.

CLEO. Mea quidem sunt Bacidis.

DEM. Tua vero, cujus?

IS. Glanidis, qui fuit frater Bacidis natu major.

Digitized by Google

δοίδυξ, οὐδὲ τορύνη.
ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ-
μάζω τῆς ὑομουσίας
αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ
παῖδες, οἳ ξυνεφοίτων,
τὴν Δωριστὶ μόνην ἂν ἁρ-
μόττεσθαι θαμὰ τὴν λύραν,
ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν·
κᾆτα τὸν κιθαριστὴν
ὀργισθέντ' ἀπάγειν κελεύ-
ειν, ὡς ἁρμονίαν ὁ παῖς
οὗτος οὐ δύναται μαθεῖν,
ἢν μὴ Δωροδοκηστί.

ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ, ΧΟΡΟΣ.

Κλ. ΙΔΟΥ, θέασαι, κοὐχ ἅπαντας ἐκφέρω.
Αλ. οἴμ', ὡς χεσείω, κοὐχ ἅπαντας ἐκφέρω.
Δη. ταυτὶ τί ἐστι;
Κλ. λόγια.
Δη. πάντ';
Κλ. ἐθαύμασας;
καὶ, νὴ Δί', ἔτι γ' ἐμοί 'στι κιβωτὸς πλέα.
Αλ. ἐμοὶ δ' ὑπερῷον, καὶ ξυνοικία δύο.
Δη. φέρ' ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;
Κλ. οἱ 'μοὶ μέν εἰσι Βάκιδος.
Δη. οἱ δὲ σοὶ, τίνος;
Αλ. Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.

Digitized by Google

Δη. εἰσὶν δὲ περὶ τοῦ;

Κλ. περὶ Ἀθηνῶν, περὶ Πύλου,
περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.

Δη. οἱ σοὶ δὲ, περὶ τοῦ;

Αλ. περὶ Ἀθηνῶν, περὶ φακῆς,
περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων,
περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κακῶς,
περὶ σοῦ, περὶ ἐμοῦ. τὸ πέος οὑτοσὶ δάκοι.

Δη. ἄγε νυν, ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι,
καὶ τὸν περὶ ἐμοῦ 'κεῖνον, ᾧπερ ἥδομαι,
ὡς ἐν νεφέλῃσιν αἰετὸς γενήσομαι.

Κλ. ἄκουε δὴ νῦν, καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
Φράζευ, Ἐρεχθείδη, λογίων ὁδὸν, ἥν σοι Ἀπόλλων
ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.
σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα,
ὃς πρόσθεν λάσκων, καὶ ὑπὲρ σέο δεινὰ κεκραγὼς,
σοὶ μισθὸν ποριεῖ· κἂν μὴ δρᾷ ταῦτ', ἀπολεῖται.
πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί.

Δη. ταυτὶ, μὰ τὴν Δήμητρ', ἐγὼ οὐκ οἶδ' ὅ τι λέγει.
τί γάρ ἐστ' Ἐρεχθεῖ, καὶ κολοιοῖς, καὶ κυνί;

Κλ. ἐγὼ μέν εἰμ' ὁ κύων· πρὸ σοῦ γὰρ ἀπύω·
σοὶ δ' εἶπε σώζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.

Αλ. οὐ τοῦτο φήσ' ὁ χρησμός· ἀλλ' ὁ κύων ὁδὶ,
ὥσπερ θύρας σου, τῶν λογίων παρεσθίει.
ἐμοὶ γάρ ἐστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.

Δη. λέγε δῆτ'· ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.

Αλ. Φράζευ, Ἐρεχθείδη, κύνα Κέρβερον ἀνδραποδιστὴν,

Digitized by Google

DEM. Nam qua de re sunt?

CLEO. De Athenis, de Pylo, de te, de me, de omnibus rebus.

DEM. Tua vero, qua de re?

IS. De Athenis, de lente, de Lacedæmoniis, de scombris recentibus, de his qui in foro inique metiuntur frumenta, de te, de me: penem iste sibi mordeat.

DEM. Facite ergo, ut ea mihi legatis, illud præcipue, quod de me est editum, quo delector, nempe ut *aquila fiam in nubibus.*

CLEO. Jam ergo audi et huc adverte mentem. *Percipe, Erechthida, rationem oraculorum, quæ Apollo tibi profatus est e penetrali per tripodas venerandos: servare te jussit sacrum canem, serratos habentem dentes, qui prius latrans, et pro te acerrime vociferans, mercedem tibi acquiret; et nisi hoc fecerit, peribit: multi enim ex odio contra eum crocitant graculi.*

DEM. Pol ego haud intelligo, quid hæc sibi velint. Quid enim est Erechtheo cum graculis et cane?

CLEO. Ego quidem sum canis ille: nam pro te latro. Tibi vero dixit Apollo, ut canem me serves.

IS. Non hoc dicit oraculum: verum canis hicce, ut fores tuas, ita etiam oracula arrodit: mihi enim unum est aliud, quod vere de hoc cane dicit.

DEM. Dic ergo: prius autem lapidem capiam, ne me illud de cane mordeat oraculum.

IS. *Animadverte, ô Erechthida, canem Cerberum plagiarium*

Digitized by Google

qui adulans cauda, et te cœnantem observans, exedet tuum cibum, siquando tu hietans aliorsum spectes. Clam autem noctu ingredietur in culinam, et canina voracitate patinas et insulas delambet.

DEM. Multo melius, ita me Neptunus amet, ô Glani dixisti.

CLEO. Audi, ô bone, tum demum dijudica. *Est mulier, parietque leonem sacris in Athenis, qui pro populo contra multos culices pugnabit, tanquam pro catulis suis stans; quem tu observa, muro exstructo ligneo, et turribus ferreis.*

DEM. Scin' quid hæc significent?

IS. Haud ego hercle.

CLEO. Perspicue Deus tibi dixit, ut me serves. Ego enim tibi sum pro leone.

DEM. Et quomodo me inscio factus es Proleo?

IS. Unum de industria te non edocet ex hoc vaticinio, quod solum ferreus murus est et lignum, in quo te adservare hunc jussit Loxias.

DEM. Quomodo ergo illud dixit Deus?

IS. Istum ut constringas jubet in ligno quinque foraminibus pertuso.

DEM. Hæc vaticinia nunc impleri mihi videntur.

CLEO. Ne credas: invidæ enim cornices crocitant; at tu accipitrem amare memento, qui tibi adduxit vinctos Lacedæmoniorum coracinos.

IS. Hoc quidem periculum temere adiit ebrius Paphlago. Cur id, Cecropida imprudens, habes pro egregio facinore? nam mulier etiam facile ferat onus, si vir sublatum id ei im-

Digitized by Google

ὃς κέρκῳ σαίνων σ', ὁπόταν δειπνῇς, ἐπιτηρῶν,
ἐξέδεταί σου τοὔψον, ὅταν σύ που ἄλλοσε χάσκῃς·
ἐσφοιτῶν δ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν
νύκτωρ τὰς λοπάδας καὶ τὰς νήσους διαλείχων.

Δη. νὴ τὸν Ποσειδῶ, πολύ γ' ἄμεινον, ὦ Γλάνι.

Κλ. ὦ 'τᾶν, ἄκουσον, εἶτα διάκρινον τότε.
Ἔστι γυνή, τέξει δὲ λέονθ' ἱεραῖς ἐν Ἀθήναις,
ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
ὥστε περὶ σκύμνοισι βεβηκώς· ὃν σὺ φύλασσε,
τεῖχος ποιήσας ξύλινον, πύργους τε σιδηροῦς.

Δη. ταῦτ' οἶσθ' ὅ τι λέγει;

Αλ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔκ.

Κλ. ἔφραζεν ὁ θεός σοι σαφῶς σώζειν ἐμέ.
ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντος εἰμί σοι.

Δη. καὶ πῶς μ' ἐλελήθης Ἀντιλέων γεγενημένος;

Αλ. ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκών,
ὃ μόνον σιδηροῦν τεῖχός ἐστι καὶ ξύλον,
ἐν ᾧ σε σώζειν τόνδ' ἐκέλευσ' ὁ Λοξίας.

Δη. πῶς δῆτα τοῦτ' ἔφραζεν ὁ θεός;

Αλ. τουτονὶ
δῆσαί σ' ἐκέλευε πεντεσυρίγγῳ ξύλῳ.

Δη. ταυτὶ τελεῖσθαι τὰ λόγι' ἤδη μοι δοκεῖ.

Κλ. μὴ πείθου· φθονεραὶ γὰρ ἐπικρώζουσι κορῶναι.
ἀλλ' ἱέρακα φίλει, μεμνημένος ἐν φρεσίν, ὅς σοι
ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.

Αλ. τοῦτό γέ τοι Παφλαγὼν παρεκινδύνευσε μεθυσθείς.
Κεκροπίδη κακόβουλε, τί τοῦθ' ἡγεῖ μέγα τοὔργον;
καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη·

Digitized by Google

ἀλλ' οὐκ ἂν μαχέσαιτο· χέσαιτο γὰρ, εἰ μαχέσαιτο.
Κλ. ἀλλὰ τόδε φράζευ, πρὸ Πύλου Πύλον ἥν σοι ἔφραζεν.
Ἔστι Πύλος πρὸ Πύλοιο--
Δη. τί τοῦτο λέγει ΠΡΟ ΠΥΛΟΙΟ;
Αλ. τὰς πυέλους φησὶν καταλήψεσθ' ἐν βαλανείῳ.
Δη. ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι.
Αλ. αὐτὸς γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.
ἀλλ' οὑτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ
ὁ χρησμὸς, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.
Δη. προσέχω· σὺ δ' ἀναγίγνωσκε, τοῖς ναύταισί μου
ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται.
Αλ. Αἰγείδη, φράσσαι κυναλώπεκα, μή σε δολώσῃ,
λαίθαργον, ταχύπουν, δολίαν κερδὼ, πολύϊδριν.
οἶσθ' ὅ τι γ' ἔστιν τοῦτο;
Δη. Φιλόστρατος, ἡ κυναλώπηξ.
Αλ. οὐ τοῦτό φησιν· ἀλλὰ ναῦς ἑκάστοτε
αἰτεῖ ταχείας ἀργυρολόγους οὑτοσί·
ταύτας ἀπαυδᾷ μὴ διδόναι σ' ὁ Λοξίας.
Δη. πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ;
Αλ. ὅπως;
ὅτι ἡ τριήρης ἐστὶ, χῳ κύων, ταχύ.
Δη. πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί;
Αλ. ἀλωπεκίοισι τοὺς στρατιώτας ᾔκασεν,
ὁτιὴ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.
Δη. εἶεν.
τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;
Αλ. ἐγὼ ποριῶ καὶ τοῦτον ἡμερῶν τριῶν.
ἀλλ' ἔτι τόνδ' ἐπάκουσον, ὃν εἶπέ σοι, ἐξαλέασθαι,

Digitized by Google

ponat: non tamen pugnaverit; nam cacaverit, si pugnaverit.

Cleo. Sed istuc animadverte, Pylum, quam tibi dixit, ante Pylum. *Est Pylus ante Pylum*—

Dem. Quid istud *Ante Pylum* sibi vult?

Is. Ait se solia in balneo occupaturum.

Dem. Hodie igitur illotus ero.

Is. Ipse enim solia nobis præripuit. Sed istud de classe dicit meum oraculum, ad quod te animum advertere oportet omnino.

Dem. Adverto: tu vero lege, nautis meis quomodo stipendium primo dabitur.

Is. *Ægida, observa canivulpem, ne te decipiat, clam mordentem, dolosam, astutam, callidam.* Scin' quid hoc sit?

Dem. Philostratus est canivulpes.

Is. Non hoc dicit: sed quas naves identidem iste petit veloces ad colligendas ab insulanis pecunias, has vetat ei dare Loxias.

Dem. At quomodo triremis est *canivulpes?*

Is. Quomodo? nempe et triremis est et canis rex velox.

Dem. Cur vero *cani* addita est *vulpes!*

Is. Vulpeculis adsimulavit milites, quoniam uvas comedunt ruri.

Dem. Esto: vulpeculis autem illis stipendium quod detur ubi est?

Is. Id ego præbebo quoque in tres dies. Sed hoc adhuc audi oraculum, quo te vitare jussit Apollo Cyllenen, ne te illa decipiat.

Digitized by Google

Dem. Quamnam Cyllenen?

Is. Hujus manum finxit Cyllenen esse merito, quia dicere hicce solet, *Injice in cyllen.*

Cleo. Perperam autumas. Per Cyllenen enim Phœbus recte innuit manum Diopithis. Sed est mihi de te oraculum alatum, ut *aquila fias et omni terræ imperes.*

Is. Mihi autem ut et terræ, et Erythræo mari, utque in Ecbatanis jus dicturus sis lambens conditos cibos.

Cleo. At ego insomnium vidi, et mihi videbatur ipsa Dea e cotyla in populum infundere opes et sanitatem.

Is. Ego etiam, ita me Jupiter amet; quippe mihi videbatur ipsa Dea ex arce descendere, eique noctua insidere, deinde majori e calice infundere utriusque in caput, tuum quidem, ambrosiam, hujus autem, muriam alliatam.

Dem. Iu, iu! nemo profecto erat Glanide sapientior. Quin memet tibi committo, ut senem me cures, et quasi puerum denuo edoceas.

Cleo. Nondum, obsecro te, sed exspecta: nam hordea tibi præbebo et victum quotidie.

Dem. Hordeorum mentionem sufferre nequeo. Sæpe deceptus sum a te et a Theophane.

Cleo. Immo farinam tibi dabo præparatam.

Is. Ego vero parvas mazas jam pistas et pisces tostos: nihil obstabit, quin illico edas.

Dem. Properate igitur perficere, quod vultis. Uter enim

Digitized by Google

χρησμὸν Λητοΐδης, Κυλλήνην, μή σε δολώσῃ.
Δη. ποίαν Κυλλήνην;
Αλ. τὴν τούτου χεῖρ' ἐποίησε
Κυλλήνην ὀρθῶς, ὁτιὴ φήσ', Ἔμβαλε κυλλῇ.
Κλ. οὐκ ὀρθῶς φράζεις. τὴν Κυλλήνην γὰρ ὁ Φοῖβος
ἐς τὴν χεῖρ' ὀρθῶς ᾐνίξατο τὴν Διοπείθους.
ἀλλὰ γάρ ἐστιν ἐμοὶ χρησμὸς περὶ σοῦ πτερυγωτός·
αἰετὸς ὡς γίγνει, καὶ πάσης γῆς βασιλεύσεις.
Αλ. καὶ γὰρ ἐμοὶ, καὶ γῆς, καὶ τῆς Ἐρυθρᾶς γε θαλάσσης,
χὤτι γ' ἐν Ἐκβατάνοις δικάσεις, λείχων ἐπίπαστα.
Κλ. ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μοι δόκει ἡ θεὸς αὐτὴ
τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.
Αλ. νὴ Δία καὶ γὰρ ἐγώ· καί μοι δόκει ἡ θεὸς αὐτὴ
ἐκ πόλεως ἐλθεῖν, καὶ γλαὺξ αὐτῇ 'πικαθῆσθαι·
εἶτα καταπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ
ἀμβροσίαν κατὰ σοῦ· κατὰ τούτου δὲ σκοροδάλμην.
Δη. ἰού, ἰού·
οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ Γλάνιδος σοφώτερος.
καὶ μὴν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
γεροντα γωγεῖν, κἀναπαιδεύειν πάλιν.
Κλ. μήπω γ', ἱκετεύω σ', ἀλλ' ἀνάμεινον, ὡς ἐγὼ
κριθὰς ποριῶ σοι καὶ βίον καθ' ἡμέραν.
Δη. οὐκ ἀνέχομαι κριθῶν ἀκούων· πολλάκις
ἐξηπατήθην ὑπό τε σοῦ καὶ Θεοφάνους.
Κλ. ἀλλ' ἄλφιτ' ἤδη σοι ποριῶ 'σκευασμένα.
Αλ. ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας,
καὶ τοὔψον ὀπτόν· μηδὲν ἄλλ', εἰ μὴ 'σθιε.
Δη. ἀνύσατε νῦν, ὅ τι περ ποιήσεθ'· ὡς ἐγὼ,

Digitized by Google

ὁπότερος ἂν σφῷν εὖ με μᾶλλον ἂν ποιῇ,
τούτῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας.

Κλ. τρέχοιμ' ἂν ἤδη πρότερος.

Αλ. οὐ δῆτ', ἀλλ' ἐγώ.

Χο. ὦ Δῆμε, καλήν γ' ἔχεις
ἀρχὴν, ὅτε πάντες ἄν-
θρωποι δεδίασί σ', ὥσ-
περ ἄνδρα τύραννον.
ἀλλ' εὐπαράγωγος εἶ,
θωπευόμενός τε χαί-
ρεις, κἀξαπατώμενος,
πρὸς τόν τε λέγοντ' ἀεὶ
κέχηνας· ὁ νοῦς δέ σου
παρὼν ἀποδημεῖ.

Δη. νοῦς οὐκ ἔνι ταῖς κόμαις
ὑμῶν, ὅτι μ' οὐ φρονεῖν
νομίζετ'· ἐγὼ δ' ἑκὼν
ταῦτ' ἠλιθιάζω.
αὐτός τε γὰρ ἥδομαι
βρύλλων τὸ καθ' ἡμέραν·
κλέπτοντά τε βούλομαι
τρέφειν ἕνα προστάτην·
τοῦτον δ', ὅταν ᾖ πλέως,
ἄρας ἐπάταξα.

Χο. οὕτω μὲν ἂν εὖ ποιεῖς,
εἴ σοι πυκνότης ἔνεστ'
ἐν τῷ τρόπῳ, ὡς λέγεις,
τούτῳ πάνυ πολλή.

Digitized by Google

vestrûm mihi plus benefecerit, huic ego tradam habenas Pnycis.

CLEO. Curram itaque jam prior.

Is. Non tu hercle, sed ego.

CHOR. O Deme, præclarum utique habes imperium, quandoquidem omnes homines metuunt te, tanquam tyrannum: sed mobilis es, et si quis tibi aduletur, teque decipiat, delectare: tum etiam oratorem semper ore hiante spectas: mens autem tua præsens est absens.

DEM. Meus non inest comis vestris, si me haud sapere existimatis. At ego sic desipio ultro. Nam ipsi mihi voluptas est potitare in dies; et unum alere volo furacem præsidem: hunc autem, quando oppletus est, sublatum percutere soleo.

CHOR. Recte quidem sic feceris, si tibi, ut dicis, prudentia inest in isto more tam multa: si hos data opera, tanquam

Digitized by Google

publicas victimas, alis in Pnyce: deinde siquando tibi desit obsonium, horum aliquem qui pinguis sit, mactas et comedis.

Dem. Spectate, an callide istos circumveniam, qui se sapere putant, et me fallere. Quippe ipsos semper observo, eos, quum furantur, me videre dissimulans: deinde quæcunque de meis furati fuerint, cogo eos rursus evomere, camum eis pro specillo in guttur immittens.

CLEO, ISICIARIUS, DEMUS, CHORUS.

Cleo. Abi hinc in maximam malam crucem.

Is. Tu quidem, ô perdite.

Cleo. O Deme. Ego quidem paratus terdudum sedeo, cupiens tibi benefacere.

Is. Ego vero decies dudum, et duodecies dudum, et millies dudum, et antea dudum, dudum, dudum.

Dem. Ego vero exspectans tricies millies dudum exsecror vos, et antea dudum, dudum, dudum.

Is. Scin' ergo quid facias?

Digitized by Google

εἰ τούσδ' ἐπίτηδες, ὥσ-
περ δημοσίους, τρέφεις
ἐν τῇ Πνυκί· κᾆθ', ὅταν
μή σοι τύχῃ ὄψον ὂν,
τούτων ὃς ἂν ᾖ παχὺς,
θύσας ἐπιδειπνεῖς.
Δη. σκέψασθε δ' ἔμ', εἰ σοφῶς
αὐτοὺς περιέρχομαι,
τοὺς οἰομένους φρονεῖν,
καί μ' ἐξαπατύλλειν.
τηρῶ γὰρ ἑκάστοτ' αὐ-
τοὺς, οὐδὲ δοκῶν ὁρᾷν,
κλέπτοντας· ἔπειτ' ἀναγ-
κάζω πάλιν ἐξεμεῖν,
ἅττ' ἂν κεκλόφωσί μου,
κημὸν καταμηλῶν.

ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ, ΧΟΡΟΣ.

Κλ. ΑΠΑΓ' ἐς μακαρίαν ἐκποδών.
Αλ. σύ γ', ὦ φθόρε.
Κλ. ὦ Δῆμ', ἐγὼ μέντοι παρεσκευασμένος
τρίπαλαι κάθημαι, βουλόμενός σ' εὐεργετεῖν.
Αλ. ἐγὼ δὲ δεκάπαλαί γε, καὶ δωδεκάπαλαι,
καὶ χιλιόπαλαι, καὶ πρόπαλαι, πάλαι, πάλαι.
Δη. ἐγὼ δὲ προσδοκῶν γε τρισμυριόπαλαι
βδελύττομαί σφω, καὶ πρόπαλαι, πάλαι, πάλαι.
Αλ. οἶσθ' οὖν ὃ δρᾶσον;

Digitized by Google

Δη. εἴ γε μὴ, φράσεις γε σύ.

Αλ. ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονὶ,
ἵνα σ' εὖ ποιῶμεν ἐξίσου.

Δη. δρᾷν ταῦτα χρή.
ἄπιτον.

Αλ. ἰδού.

Δη. θέοιτ' ἄν.

Κλ. ὑποθεῖν οὐκ ἐῶ.

Δη. ἀλλ' ἦ μεγάλως εὐδαιμονήσω τήμερον
ὑπὸ τῶν ἐραστῶν, νὴ Δί', ἢ 'γὼ θρύψομαι.

Κλ. ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.

Αλ. ἀλλ' οὐ τράπεζαν· ἀλλ' ἐγὼ προτεραίτερος.

Κλ. ἰδοὺ φέρω σοι τήνδε μαζίσκην ἐγὼ,
ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.

Αλ. ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
ὑπὸ τῆς θεοῦ, τῇ χειρὶ τῇ 'λεφαντίνῃ.

Δη. ὡς μέγαν ἄρ' εἶχες, ὦ πότνια, τὸν δάκτυλον.

Κλ. ἐγὼ δ' ἔτνος γε πίσινον, εὔχρων καὶ καλόν·
ἐτόρυνε δ' αὔθ' ἡ Παλλὰς, ἡ Πυλαιμάχος.

Αλ. ὦ Δῆμ', ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.

Δη. οἴει γὰρ οἰκεῖσθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;

Κλ. τουτὶ τέμαχός σοι 'δωκεν ἡ Φοβεσιστράτη.

Αλ. ἡ δ' Ὀβριμοπάτρα γ', ἐφθὸν ἐκ ζωμοῦ κρέας,
καὶ χόλικος, ἠνύστρου τε, καὶ γαστρὸς τόμον.

Δη. καλῶς γ' ἐποίησε, τοῦ πέπλου μεμνημένη.

Κλ. ἡ Γοργολόφα σ' ἐκέλευε τουτουῒ φαγεῖν

Digitized by Google

Dem. Si nesciam, tu id mihi dices.

Is. Jube me simul et istum, tanquam a carceribus missos, et equo tibi benefacere.

Dem. Hoc agere me par est. Abscedite.

Is. Ecce.

Dem. Currite jam.

Cleo. Subverti haud me sinam.

Dem. Profecto beatus ero oppido hodie amatorum horum opera, nisi delicias faciam.

Cleo. Viden'? ego tibi prior extuli sellam hanc.

Is. At non mensam tu: verum ego multo prior extuli.

Cleo. Ecce ego fero tibi hanc parvam mazam, ex farre illo pistam, quod ex Pylo adtuli.

Is. Ego vero offas panis, quas excavavit ipsa Dea manu eburnea.

Dem. Quam magnum ergo digitum habes, ô veneranda!

Cleo. Ego vero e pisis pultem boni coloris et bonam, quam tudiculavit Pallas, cujus auspiciis Pylum expugnavi.

Is. O Deme, manifesto te respicit Dea: nunc etiam tenet ollam supra te juris plenam.

Dem. Putasne hanc urbem habitari potuisse tamdiu, nisi perspicue ollam supra nos tenuisset?

Cleo. Hoc frustum piscis dedit tibi Dea fugatrix exercituum.

Is. At Virgo patrima carnem in jure elixam, item intestini, et omasi, et ventriculi frustum.

Dem. Pulchre gratiam retulit, pepli memor.

Cleo. Gorgonis capite et crista insignis Dea te comedere jubet de hac placenta in longum ducta, ut remos ducamus et navigemus commode.

Digitized by Google

Is. Hæc etiam cape.

Dem. Et quid istis faciam intestinis?

Is. Ea tibi consulto misit Dea, ad statuminandas intrinsecus naves: quippe manifesto respicit classem nostram: cape et poculum duobus vini, tribus aquæ mistum cyathis.

Dem. O Jupiter! quam suave vinum! ut facile fert ternas aquæ partes?

Is. Etenim Tritonia eum ternavit.

Cleo. Accipe nunc a me pinguis placentæ frustum.

Is. A me vero totam placentam hancce.

Cleo. Sed leporinam non habebis unde ei des: at ego.

Is. Hei mihi! undenam leporinæ mihi copia fiat! mi anime, nunc scurrile quidpiam inveni.

Cleo. Viden' hancce, ô perdite?

Is. Parum id curo. Sed enim isti ad me veniunt.

Cleo. Quinam?

Is. Legati, qui crumenas habent refertas pecunia.

Cleo. Ubi, ubi sunt?

Is. Quid hoc ad te? nonne omittes hospites? O Demule, viden' leporinam, quam tibi fero?

Cleo. Væ misero mihi! nefarie meam surripuisti.

Is. Etenim tu quoque hercle Laconas illos ex Pylo.

Dem. Dic, amabo, quo commento eam rapuisti?

Is. Commentum quidem est Deæ: furtum vero meum.

Cleo. At ego periculo meo leporem venatus sum.

Digitized by Google

ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.
Αλ. λαβὲ καὶ ταδὶ νῦν.
Δη. καὶ τί τούτοις χρήσομαι
τοῖς ἐντέροις;
Αλ. ἐπίτηδες αὔτ' ἔπεμψέ σοι
εἰς τὰς τριήρεις ἐντερονείαν ἡ θεός·
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
Δη. ὡς ἡδύς, ὦ Ζεῦ, καὶ τὰ τρία φέρων καλῶς.
Αλ. ἡ Τριτογενης γὰρ αὐτὸν ἐνετριτώνισε.
Κλ. λαβὲ νῦν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.
Αλ. παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
Κλ. ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς· ἀλλ' ἐγώ.
Αλ. οἴμοι· πόθεν λαγῷά μοι γενήσεται;
ὦ θυμέ, νυνὶ βωμολόχον ἔξευρέ τι.
Κλ. ὁρᾷς τάδ', ὦ κακόδαιμον;
Αλ. ὀλίγον μοι μέλει·
ἀλλὰ γὰρ ἐκεῖνοί γ' ὡς ἔμ' ἔρχονται.
Κλ. τίνες;
Αλ. πρέσβεις, ἔχοντες ἀργυρίου βαλάντια.
Κλ. ποῦ, ποῦ;
Αλ. τί δέ σοι τοῦτ'; οὐκ ἐάσεις τοὺς ξένους;
ὦ Δημίδιον, ὁρᾷς τὰ λαγῷ', ἅ σοι φέρω;
Κλ. οἴμοι τάλας, ἀδίκως γε τἄμ' ὑφήρπασας.
Αλ. νὴ τὸν Ποσειδῶ, καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.
Δη. εἴπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;
Αλ. τὸ μὲν νόημα τῆς θεοῦ· τὸ δὲ κλέμμ' ἐμόν.
Κλ. ἐγὼ δ' ἐκινδύνευσ'·

Digitized by Google

Αλ. ἐγὼ δ' ὤπτησά γε.
Δη. ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.
Κλ. οἴμοι κακοδαίμων, ὑπεραναιδεσθήσομαι.
Αλ. τί οὐ διακρίνεις, Δῆμ', ὁπότερός ἐστι νῷν
ἀνὴρ ἀμείνων περὶ σὲ, καὶ τὴν γαστέρα;
Δη. τῷ δῆτ' ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ
δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς;
Αλ. ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν
ξύλλαβε σιωπῇ, καὶ βασάνισον ἅττ' ἔνι,
καὶ τὴν Παφλαγόνος· κᾀμέλει κρινεῖς καλῶς.
Δη. φέρ' ἴδω, τί οὖν ἔνεστιν;
Αλ. ἀλλ' ὁρᾷς κενὴν,
ὦ παππίδιον. ἅπαντα γάρ σοι παρεφόρουν.
Δη. αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.
Αλ. βάδιζε γοῦν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
ὁρᾷς νυν;
Δη. οἴμοι τῶν ἀγαθῶν, ὅσων πλέα.
ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο·
ἐμοὶ δ' ἔδωκεν ἀποτεμὼν τυννουτονί.
Αλ. τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο.
σοὶ μὲν προσεδίδου σμικρὸν, ὧν ἐλάμβανεν·
αὐτὸς δ' ἑαυτῷ παρετίθει τὰ μείζονα.
Δη. ὦ μιαρὲ, κλέπτων δή με ταῦτ' ἐξηπάτας;
ἐγὼ δέ τυ ἐστεφάνιξα, κᾀδωρησάμαν.
Κλ. ἐγὼ δ' ἔκλεπτον ἐπ' ἀγαθῷ γε τῇ πόλει.
Δη. κατάθου ταχέως τὸν στέφανον, ἵν' ἐγὼ τουτωὶ
αὐτὸν περιθῶ.
Αλ. κατάθου ταχέως μαστιγία.

Digitized by Google

Is. Ego vero eum assavi.

Dem. Abi: nam non nisi adponenti gratia est.

Cleo. Hei mihi! vincar impudentia, perditus.

Is. Cur non dijudicas, ô Deme, uter nostrûm melior vir sit erga te et ventrem?

Dem. Quonam ergo documento usus, inter vos sapienter dijudicasse videri queam spectatoribus?

Is. Dicam tibi. Vade et cistam meam tacite comprehende, et explora ecquid insit: hujus itidem Paphlagonis. Sic procul dubio recte judicabis.

Dem. Age videam, quid ergo inest?

Is. Sed vacuam vides, ô patercule; omnia enim tibi adtuli.

Dem. Hæc quidem cista populo favet.

Is. Accede igitur etiam huc ad cistam Paphlagonis. Jamne vides?

Dem. Hei mihi! quantis bonis repleta est! quam magnam in ea placentam recondidit: mihi autem tantillum præcisum dedit.

Is. Idem fecit antidhac etiam: ex illis quæ capiebat, pauxillum tibi dabat: ipsus autem sibi majores partes anteponebat.

Dem. O impure, itane me decipiebas, furtum faciens? *Ego autem te coronis et donis ornavi.*

Cleo. At ego furabar reipublicæ bono.

Dem. Depone ocius coronam, ut isti eam imponam,

Is. Depone ocius, verbero.

Digitized by Google

Cleo. Minime vero: nam mihi oraculum est Pythicum, declarans a quo solo vinci me necesse sit.

Is. Nempe declarans meum nomen, idque perquam perspicue.

Cleo. Atqui volo documento explorare an congruas cum oraculo: et ex te primum hoc tantum percontabor; quem ludum frequentasti puer?

Is. In culinis concinnabar pugnis.

Cleo. Quid ais? ut oraculo percellitur animus meus! Esto: quid vero apud palæstræ magistrum didicisti?

Is. Furari et furtum abjurare, testesque in oculos intueri.

Cleo. *O Phœbe Apollo Lycie, quid tandem me facies?* Quamnam vero artem exercuisti jam adultior?

Is. Isicia vendebam.

Cleo. Quid præterea?

Is. Futuebar.

Cleo. Væ mihi infortunato! Jam nullus sum. *Tenuis quædam est spes, quæ nos sustinet.* Et mihi hoc tantum dic, utrum in foro isicia vendebas, an ad portas.

Is. Ad portas, ubi salsamenta venum exponuntur.

Cleo. Hei mihi! oraculum adimpletum est. Volutate intro huncce infelicem. O corona, vale: invitus equidem te amitto: habebit te alius, fur quidem non pejor, forte tamen fortunatior.

Digitized by Google

Κλ. οὐ δῆτ', ἐπεί μοι χρησμός ἐστι Πυθικὸς
φράζων, ὑφ' οὗ με δεῖ ποθ' ἡττᾶσθαι μόνου.
Αλ. τοὐμόν γε φράζων ὄνομα, καὶ λίαν σαφῶς.
Κλ. καὶ μήν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι.
παῖς ὢν ἐφοίτας ἐν τίνος διδασκάλου;
Αλ. ἐν ταῖσιν εὕστραις κονδύλοις ἡρμοττόμην.
Κλ. πῶς εἶπας; ὥς μου χρησμὸς ἅπτεται φρενῶν.
εἶεν.
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;
Αλ. κλέπτων ἐπιορκεῖν, καὶ βλέπειν ἐναντίον.
Κλ. Ω ΦΟΙΒ' ΑΠΟΛΛΟΝ ΛΥΚΙΕ, ΤΙ ΠΟΤ' ΕΜ'
ΕΓΑΣΕΙ;
τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;
Αλ. ἠλλαντοπώλουν.
Κλ. καὶ τί;
Αλ. κἀβινεσκόμην.
Κλ. οἴμοι κακοδαίμων· οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
λεπτή τις ἐλπίς ἐστ', ἐφ' ἧς ὀχούμεθα.
καί μοι τοσοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
ἠλλαντοπώλεις ἐτεὸν, ἢ 'πὶ ταῖς πύλαις;
Αλ. ἐπὶ ταῖς πύλαισιν, οὗ τὸ τάριχος ὤνιον.
Κλ. οἴμοι· πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.
ὦ στέφανε, χαίρων ἄπιθι· καί σ' ἄκων ἐγὼ
λείπω· σὲ δ' ἄλλος τις λαβὼν κεκτήσεται,
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.

Digitized by Google

Αλ. Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.
Χο. ὦ χαῖρε, καλλίνικε, καὶ μέμνησ', ὅτι
ἀνὴρ γεγένησαι δι' ἐμέ· καί σ' αἰτῶ βραχὺ,
ὅπως γένωμαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.
Δη. ἐμοὶ δέ γ', ὅ τι σοι τοὔνομ', εἶπ'.
Αλ. Ἀγοράκριτος.
ἐν τῇ 'γορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.
Δη. Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω,
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.
Αγ. καὶ μὴν ἐγώ σ', ὦ Δῆμε, θεραπεύσω καλῶς,
ὥσθ' ὁμολογεῖν σε, μηδέν' ἀνθρώπων ἐμοῦ
ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.
Ημ. Τί κάλλιον ἀρχομένοισιν,
ἢ καταπαυομένοισιν,
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν,
μηδὲν ἐς Λυσίστρατον,
μηδὲ Θούμαντιν ἀνέστιον αὖ,
λυπεῖν ἑκούσῃ καρδίᾳ;
καὶ γὰρ οὑτοσὶ, φίλ' Ἄπολλον,
πεινῇ, θαλεροῖσι δακρύοισιν
σᾶς ἁπτόμενος φαρέτρας
Πυθῶνι ἐν, διὰ τὸ κακῶς πένεσθαι.
Χο. Λοιδορῆσαι τοὺς πονηροὺς, οὐδέν ἐστ' ἐπίφθονον,
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακὰ,
οὗτος ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,
ὅστις ἢ τὸ λευκὸν οἶδεν, ἢ τὸν ὄρθιον νόμον.

Digitized by Google

Is. Jupiter Græcanice, palma tua est.

Chor. O salve victor, et memor esto, te virum evasisse mea opera. Modicum autem hoc a te peto, ut fiam tibi scriba in judiciis, uti nunc Phanus est.

Dem. Mihi autem, quodnam sit tuum nomen, eloquere.

Is. Agoracritus: nam in foro litigando pastus sum.

Sem. Agoracrito igitur memet committo, eique Paphlagonem hunc trado.

Ag. Equidem te, ô Deme, curabo sedulo, ut fatearis te hominem nullum vidisse meliorem me erga Oscitantium urbem.

Sem. Quid pulchrius incipienti opus aut finienti, quam velocium equorum agitatores cantare, nulloque convicio Lysistratum aut Thumantin domo carentem sponte lacessere? Etenim iste, ô bone Apollo, esurit, et uberrimas lacrimas fundens supplex tuam Delphis tangit pharetram, quia summa laborat inopia.

Chor. Maledicere improbis neutiquam est invidiosum: quin ad laudi bonis dabit, qui recte judicat. Quod si autem homo ille, quem par est ex me multa maledicta audire, esset vulgo notus, non facerem mentionem alius amici viri. Nunc itaque Arignotum homo qui ignoret, nemo est, nisi qui nesciat, quid sit album, aut qui sit orthius modus. Huic vero frater est, moribus ei haud germanus, Ariphrades improbus: sed enim sciens

Digitized by Google

prudensque talis est. Est autem non tantum malus, nec enim hoc sensissem, neque pessimus tantum: verum etiam insuper excogitavit quiddam. Linguam enim suam polluit turpibus voluptatibus, in ganeis lambens despuendum illum rorem, et inquinans barbam, et conturbans labra pudendorum, Polymnestea carmina faciens, et consuescens cum Œonicho. Quicunque igitur hominem istum non valde exsecratur, nunquam ex eodem poculo nobiscum bibet.

SEM. Sæpe nocturnis cogitationibus occupatus fui, et quæsivi, qua de causa tam improbe comedat Cleonymus. Aiunt enim illum more pecudum vorantem bona divitum hominum vix abire a panario: at illos eum orare, ut sibi æque edendi veniam det: *Age, o præclare, per genua te obsecro, exi et parce mensæ.*

CHOR. Aiunt convenisse triremes ad colloquendum inter se, et unam aliquam earum, quæ maxima erat natu, dixisse: *Nonne auditis, o virgines, quæ in urbe fiunt? aiunt quemdam petiisse nostrarum centum ad expeditionem in Chalcedonem, civem improbum, vappam Hyperbolum.* Triremibus autem aiunt id visum esse grave et intolerabile, et quamdam earum dixisse, quæ cum viris nondum consueverat: *Pro Averrunce! meus certe navar-*

Digitized by Google

ἔστιν οὖν ἀδελφὸς αὐτῷ, τοὺς τρόπους οὐ ξυγγενής,
Πριφράδης πονηρός. ἀλλα τοῦτο μὲν καὶ βούλεται·
ἔστι δ' οὐ μόνον πονηρὸς, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην,
οὐδὲ παμπόνηρος· ἀλλα καὶ προσεξεύρηκέ τι.
τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται,
ἐν κασαυρίοισι λείχων τὴν ἀπόπτυστον δρόσον,
καὶ μολύνων τὴν ὑπήνην, καὶ κυκῶν τὰς ἐσχάρας,
καὶ Πολυμνήστεια ποιῶν, καὶ ξυνῶν Οἰωνίχῳ.
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.

Ημ. Ἦ πολλάκις ἐννυχίαισι
φροντίσι συγγεγένημαι,
καὶ διεζήτηχ', ὁπόθεν ποτὲ φαύλως
ἐσθίει Κλεώνυμος.
φασὶ γὰρ αὐτὸν ἐρεπτόμενον
τὰ τῶν ἐχόντων ἀνέρων,
οὐκ ἂν ἐξελθεῖν ἀπὸ σιπύης·
τοὺς δ' ἀντιβολεῖν ἐᾶν ὁμοίως·
Ἴθ', ὦ ἄνα, πρὸς γονάτων,
ἔξελθε, καὶ σύγγνωθι τῇ τραπέζῃ.

Χο. Φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις ἐς λόγον,
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥ τις ἦν γεραιτέρα.
Οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει;
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν εἰς Χαλκηδόνα
ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον.---
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο, κοὐκ ἀνασχετὸν,
καί τιν' εἰπεῖν, ἥ τις ἀνδρῶν ἄσσον οὐκ ἐληλύθει.
Ἀποτρόπαι', οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ'· ἀλλ' ἐάν με χρῇ,

Digitized by Google

ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι·
οὐδὲ Ναυφάντης γε, τῆς Ναύσωνος, οὐ δῆτ', ὦ θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἢν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί μοι δοκεῖ
εἰς τὸ Θησεῖον πλεούσας, ἢ 'πὶ τῶν Σεμνῶν Θεῶν.
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει·
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, εἰ βούλεται,
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύσας.

ΑΓΟΡΑΚΡΙΤΟΣ, ΧΟΡΟΣ, ΔΗΜΟΣ.

Ἀγοράκριτος.

Εὐφημεῖν χρὴ καὶ στόμα κλείειν, καὶ μαρτυριῶν ἀπέχεσθαι,
καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις ἥδε γέγηθεν·
ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.

Χορός.

ὦ ταῖς ἱεραῖς ἐπίκουρε φανεὶς νήσοις, καὶ φέγγος Ἀθήναις,
τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ' ὅτῳ κνίσσωμεν ἀγυιάς;

Ἀγοράκριτος.

τὸν Δῆμον ἀφεψήσας ὑμῖν, καλὸν ἐξ αἰσχροῦ πεποίηκα.

Χορός.

καὶ ποῦ 'στιν νῦν, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας;

Ἀγοράκριτος.

ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ, ταῖς ἀρχαίαισιν Ἀθήναις.

Χορός.

πῶς ἂν ἴδοιμεν; τίν' ἔχει σκευήν; καὶ ποῖός τις γεγένηται;

Ἀγοράκριτος.

οἷός περ Ἀριστείδῃ πρότερον, καὶ Μιλτιάδῃ ξυνεσίτει.

Digitized by Google

chus ille nunquam erit; sed si necesse est, a cossis corrosa et putrefacta hic consenescam; nec Nauphantæ Nausonis filiæ navarchus ille sit, ne sit, inquam, o Dii! si quidem ex picea et lignis sum ego etiam compacta. Si autem Atheniensibus placet illa sententia, videtur mihi optimum nobis esse, si in Thesei aut Eumenidum fanum navigemus, ibique supplices sedeamus. Non enim nobis imperans iridebit urbem: sed naviget seorsum solus in malam rem, si vult, alveos illos, in quibus lucernas vendebat, in mare deducens.

AGORACRITUS, CHORUS, DEMUS.

Ag. Linguis favere oportet et os comprimere, et a testibus citandis abstinere, et fora judicum occludere, quibus ista urbs gaudet, et propter novas prosperitates oportet, ut theatrum Pæanem canat.

Chor. O qui auxiliator sacris apparuisti insulis et lumen Athenis, quamnam ferens bonam famam venisti, ob quam plateas repleamus nidore?

Ag. Populum vobis decoxi, et pulchrum eum ex turpi feci.

Chor. Et ubi nunc est ille, ô admirandi auctor commenti?

Ag. Antiquas incolit violis coronatas Athenas.

Chor. Qui videre eum possimus? quemnam habet ornatum? et qualis factus est?

Ag. Qualis antehac fuit, quando cum Aristide et Miltiade

cibum una capiebat: jam autem illum videbitis: crepant enim ab eo vestibuli fores. Sed gratulamini Athenis ob antiquam receptam speciem, Athenis, inquam, admirandis, decantatis, in quibus habitat inclytus ille Populus.

CHOR. O nitidæ, violis coronatæ, præclaræ Athenæ, ostendite nobis monarcham illum Græciæ et hujus soli.

AG. Hic ille est cicadas in capillis gestans, splendens antiqua specie, non calculos redolens, sed pacem, myrrha delibutus.

CHOR. Salve, ô Græcorum Rex: tibi gratulamur: nam bona tibi obtigerunt et civitate digna, et illo in Marathone tropæo.

DEM. O hominum carissime, huc accede, Agoracrite. Quantis me decoquendo bonis adfecisti!

AG. Egone? sed, ô bone, necdum scis, qualis antehac fueris, neque quid feceris: nam pro deo me haberes.

DEM. Quid ergo feci antehac? dic mihi, qualis eram?

AG. Principio quidem, si quando in concione diceret aliquis: *O popule, amator sum tuus, teque colo, et curam tui gero, et consultum tibi solus volo:* his si quis uteretur exordiis, subsiliebas, et jactabas caput ferociter.

DEM. Egone?

AG. Deinde ille, te decepto, abibat.

DEM. Quid ais? hæccine mihi fecerunt, nec ego id sensi?

Digitized by Google

ὄψεσθε δέ· καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.
ἀλλ' ὀλολύξατε φαινομένῃσιν ταῖς ἀρχαίαισιν Ἀθήναις,
καὶ θαυμασταῖς, καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.

Χορός.

ὦ ταὶ λιπαραὶ, καὶ ἰοστέφανοι, καὶ ἀριζήλωτοι Ἀθῆναι,
δείξατε τὸν τῆς Ἑλλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον.

Ἀγοράκριτος.

ὅδ' ἐκεῖνος ὁρᾷν τεττιγοφόρος, τῷ 'ρχαίῳ σχήματι λαμπρὸς,
οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλειπτος.

Χορός.

χαῖρ', ὦ βασιλεῦ τῶν Ἑλλήνων· καί σοι ξυγχαίρομεν ἡμεῖς.
τῆς γὰρ πόλεως ἄξια πράττεις, καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.

Δη. ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ', Ἀγοράκριτε.
ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας.
Αγ. ἐγώ;
ἀλλ', ὦ μέλ', οὐκ οἶσθ', οἷος ἦσθ' αὐτὸς πάρος,
οὐδ' οἷον ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
Δη. τί δ' ἔδρων, κάτειπέ μοι, πρὸ τοῦ; ποῖός τις ἦ;
Αγ. πρῶτον μὲν, ὁπότ' εἴποι τις ἐν τῇ 'κκλησίᾳ,
Ὦ Δῆμ', ἐραστής εἰμι σὸς, φιλῶ τε σὲ,
καὶ κήδομαί σου, καὶ προβουλεύω μόνος.---
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
ἀνωρτάλιζες, κἀκερουτίας.
Δη. ἐγώ;
Αγ. εἶτ' ἐξαπατήσας σ' ἀντὶ τούτων, ᾤχετο.
Δη. τί φῄς; τοιαῦτά μ' ἔδρων, ἐγὼ δ' οὐκ ᾐσθόμην;
Αγ. τὰ δ' ὦτα γάρ σου, νὴ Δί', ἐξεπετάννυτο,

Digitized by Google

ὥσπερ σκιάδειον, καὶ πάλιν ξυνήγετο.
Δη. οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
Αγ. καὶ, νὴ Δία γ', εἰ δύο σοι λεγοίτην, ῥήτορε,
ὁ μὲν, ποιεῖσθαι ναῦς μακράς. ὁ δ' ἕτερος αὖ
καταμισθοφορῆσαι· τοῦτον ὁ τὸν μισθὸν λέγων,
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
οὗτος, τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;
Δη. αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.
Αγ. ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς·
ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νῦν δὴ φράσον.
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος·
Οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην.---
τοῦτον τί δράσεις, εἰπὲ, τὸν ξυνήγορον;
Δη. ἄρας μετέωρον, ἐς τὸ βάραθρον ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.
Αγ. τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·
τὰ δ' ἄλλα, φέρ' ἴδω, πῶς πολιτεύσει, φράσον.
Δη. πρῶτον μὲν, ὁπόσοι ναῦς ἐλαύνουσιν μακρὰς,
καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
Αγ. πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.
Δη. ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ,
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται·
ἀλλ', ὥσπερ ἦν τὸ πρῶτον, ἐγγεγράψεται.
Αγ. τοῦτ' ἔδακε τὸν πόρπακα τοῦ Κλεωνύμου.
Δη. οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
Αγ. ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;
Δη. τὰ μειράκια ταυτὶ λέγω, τὰν τῷ μύρῳ,

Digitized by Google

Ag. Nam aures tuæ hercle diducebantur instar umbellæ, et rursus contrahebantur.

Dem. Adeone ineptus ego fui et præ senectute delirans?

Ag. Quin etiam, quum duo oratores verba facerent, altero dicente *parandam esse classem*, altero autem, *solvendam esse judicibus mercedem*; tunc qui de mercede dicebat, superato illo qui de classe rogationem tulerat, abibat. Heus tu, quid demittis caput? nonne loco manebis?

Dem. Pudet me profecto priorum peccatorum.

Ag. At culpa non est tua, ne sis sollicitus, sed eorum, qui te sic decepere. Nunc autem, dic mihi; si quis advocatus scurra dicat: *Non est vobis judicibus panis, nisi hanc causam damnaveritis:* huic patrono quid facies? dic mihi.

Dem. Sublimem tollam et in Barathrum injiciam, e collo ei suspendens Hyperbolum.

Ag. Istuc quidem recte et sapienter jam dicis: sed in ceteris quomodo rempublicam ordinabis? age, dic mihi.

Dem. Primo remigibus longarum navium, quum primum in portum appulerint, mercedem integram dabo.

Ag. Multis adtritis natibus gratum fecisti.

Dem. Deinde catalogo militum inscriptorum civium nullus in alium transcribetur ordinem studiis fautorum: sed sicut initio erat, ita erit inscriptus.

Ag. Istuc momordit clypeum Cleonymi.

Dem. Nec imberbis ullus in foro concionabitur.

Ag. Ubi ergo concionabuntur Clisthenes et Strato?

Dem. Adolescentulos illos dico in myropoliis versari solitos,

Digitized by Google

qui sedentes hæc garriunt: *Dexter est Phæax, et solerter eruditus fuit: quippe auditorem oratione quasi constrictum tenet, et quodlibet adsequitur: sententias etiam cudit, et est perspicuus, facileque affectus movet, optime comprimens tumultuantes.*

AG. Nonne tu es pædico istorum locutuleiorum?

DEM. Non hercle; sed cogam istos omnes venatum ire, a faciendis decretis abstinentes.

AG. Accipe ergo hac conditione sellam hanc plicatilem, et puerum coleatum, qui eam tibi gestet, et, siquando videbitur, hunc tibi sellam face.

DEM. O me beatum, qui pristinum in statum reducor!

AG. Istuc dices demum, quum tricennales inducias tradidero tibi. Adeste ocius vos Induciæ.

DEM. O Jupiter supreme, quam venustæ sunt! obsecro per Deos, licetne cum illis rem habere? quomodo illas cepisti, amabo?

AG. Nonne eas Paphlago intus absconderat, ne tu eas caperes? nunc itaque tibi eas do, ut rus abeas, tecum eas abducens.

DEM. Paphlagonem autem, qui ista fecit, dic, quo malo mactabis?

AG. Non magno, nec alio ullo, nisi ut artem meam obtineat, et ad portas isicia vendat solus, caninas carnes miscens asininis, ebriusque scortis convicia dicat, et ex balneorum soliis haustam aquam bibat.

Digitized by Google

ἃ στωμυλεῖται τοιαδὶ καθήμενα·
Δεξιὸς ὁ Φαίαξ, καὶ σοφῶς ἐμάνθανε.
ξυνερκτικὸς γάρ ἐστι, καὶ περαντικὸς,
καὶ γνωμοτυπικὸς, καὶ σαφὴς, καὶ κρουστικὸς,
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ.
Αγ. οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;
Δη. μὰ Δί', ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
τούτους ἅπαντας, παυσαμένους ψηφισμάτων.
Αγ. ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν,
καὶ παῖδ' ἐνόρχην, ὅσπερ οἴσει τόνδε σοι·
κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
Δη. μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι.
Αγ. φήσεις γ', ἐπειδὰν τὰς τριακοντούτιδας
σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ' αἱ Σπονδαὶ ταχύ.
Δη. ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαί· πρὸς τῶν θεῶν,
ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
πῶς ἔλαβες αὐτὰς ἐτεόν;
Αγ. οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτε ταύτας ἔνδον, ἵνα σὺ μὴ λάβοις;
νῦν οὖν ἐγώ σοι παραδίδωμ' εἰς τοὺς ἀγροὺς
αὐτὰς ἰέναι λαβόντα.
Δη. τὸν δὲ Παφλαγόνα,
ὃς ταῦτ' ἔδρασεν, εἴφ' ὅ τι ποιήσεις κακόν.
Αγ. οὐδὲν μέγ', ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην.
ἐπὶ ταῖσι πύλαις ἀλλαντοπωλήσει μόνος,
τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασι,
μεθύων τε ταῖς πόρναισι λοιδορήσεται,
κἀκ τῶν βαλανείων αὖ τὸ λουτρὸν πίεται.

Digitized by Google

Δη. εὖ γ' ἐπενόησας, οὗπέρ ἐστιν ἄξιος.
πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι.
καί σ' ἀντὶ τούτων ἐς τὸ Πρυτανεῖον καλῶ,
ἐς τὴν ἕδραν θ', ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός.
ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην,
ἵν' ἴδωσιν αὐτὸν, οὓς ἐλωβᾶθ', οἱ ξένοι.

Χο. (λείπει κομμάτιον τοῦ Χοροῦ.)

Digitized by Google

Dem. Bene excogitasti id, quo dignus est, nimirum ut cum scortis et balneatoribus digladietur maledictis. At te pro his beneficiis in Prytaneum invito, et in sedem, quam obtinebat impurissimus ille: sequere autem sumta viridi hac veste. Et illum educat aliquis ad exercendam suam artem, ut videant ipsum hospites, quos contumeliis solebat adficere.

Chor. *(Deest Chori cantiuncula.)*

Digitized by Google

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

Α Χ Α Ρ Ν Η Σ.

Digitized by Google

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ΚΗΡΥΞ.
ΑΜΦΙΘΕΟΣ.
ΠΡΕΣΒΕΙΣ Ἀθηναίων παρὰ Βασιλέως ἥκοντες
ΨΕΥΔΑΡΤΑΒΑΣ.
ΘΕΩΡΟΣ.
ΧΟΡΟΣ ΑΧΑΡΝΕΩΝ.
ΓΥΝΗ Δικαιοπόλιδος.
ΘΥΓΑΤΗΡ Δικαιοπόλιδος.
ΚΗΦΙΣΟΦΩΝ.
ΕΥΡΙΠΙΔΗΣ.
ΛΑΜΑΧΣ.
ΜΕΓΑΡΕΥΣ.
ΚΟΡΑΙ θυγατέρες τοῦ Μεγαρέως.
ΣΥΚΟΦΑΝΤΗΣ.
ΒΟΙΩΤΟΣ.
ΝΙΚΑΡΧΟΣ.
ΘΕΡΑΠΩΝ Λαμάχου.
ΓΕΩΡΓΟΣ.
ΠΑΡΑΝΥΜΦΟΣ.
ΑΓΓΕΛΟΙ.

Digitized by Google

ARISTOPHANIS

ACHARNENSES.

DICÆOPOLIS, PRÆCO, AMPHITHEUS, LEGATI *Athenienses*, PSEUDARTABAS, THEORUS, CHORUS.

Dic. Quam multa sunt, quæ mihi cor momorderunt! Qua vero me delectarunt, pauca, perpauca, quatuor omnino. At quæ me cruciarunt, tot sunt, quot litus arenas, et quot Gargari segetes habent. Age videam, quid me delectavit, ob quod merito gavisus fuerim. Scio equidem, quanam re visa cor meum maxime exhilaratum fuit, illis nimirum quinque talentis, quæ Cleo evomuit. Quanto ob hanc rem delibutus fui gaudio! et Equites deamo ob istuc factum, quo quidem Græcia juvatur omnis. Sed contra aliud me excruciavit animi tragicum quiddam, quum, postquam dudum ore hiante exspectassem Æschylum, præco alta voce dixit: *Introduc, o Theognis, tuum chorum.* Quam valde putas id meum cor concus-

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΑΧΑΡΝΗΣ.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΚΗΡΥΞ, ΑΜΦΙΘΕΟΣ, ΠΡΕΣΒΕΙΣ Ἀθηναίων, ΨΕΥΔΑΡΤΑΒΑΣ, ΘΕΩΡΟΣ, ΧΟΡΟΣ.

Δι. ΟΣΑ δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν,
ἥσθην δὲ βαιὰ, πάνυ δὲ βαιὰ τέτταρα·
ἃ δ' ὠδυνήθην, ψαμμοκοσιογάργαρα.
φέρ' ἴδω, τί δ' ἥσθην ἄξιον χαιρηδόνος;
ἐγῷδ', ἐφ' ᾧ γε τὸ κέαρ εὐφράνθην ἰδὼν,
τοῖς πέντε ταλάντοις, οἷς Κλέων ἐξήμεσε.
ταῦθ' ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς Ἱππέας
διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.
ἀλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικὸν,
ὅτε δῆτ' ἐκεχήνη προσδοκῶν τὸν Αἰσχύλον·
ὁ δ' ἀνεῖπεν· Εἴσαγ', ὦ Θέογνι, τὸν χορόν---

Digitized by Google

πῶς τοῦτο σεῖσαί μου δοκεῖς τὴν καρδίαν;
ἀλλ' ἕτερον ἥσθην, ἡνίκ' ἐπὶ μόσχῳ ποτὲ
Δεξίθεος εἰσῆλθ' ᾀσόμενος Βοιώτιον·
τῆτες δ' ἀπέθανον καὶ διεστράφην ἰδὼν,
ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον.
ἀλλ' οὐδεπώποτ', ἐξ ὅτου 'γὼ ῥύπτομαι,
οὕτως ἐδήχθην ὑπὸ κονίας γε τὰς ὀφρῦς,
ὡς νῦν, ὁπότ' οὔσης κυρίας ἐκκλησίας
ἑωθινῆς, ἔρημος ἡ Πνὺξ αὑτηΐ·
οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι, κᾆνω καὶ κάτω
τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον·
οὐδ' οἱ Πρυτάνεις ἥκουσιν· ἀλλ' ἀωρίαν
ἥκοντες, εἶτα δ' ὠστιοῦνται, πῶς δοκεῖς,
ἐλθόντες ἀλλήλοισι περὶ πρώτου ξύλου,
ἀθρόοι καταῤῥέοντες· εἰρήνη δ' ὅπως
ἔσται, προτιμῶσ' οὐδέν· ὦ πόλις, πόλις.
ἐγὼ δ' ἀεὶ πρώτιστος εἰς ἐκκλησίαν
νοστῶν κάθημαι· κᾆτ' ἐπειδὰν ὦ μόνος,
στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι,
ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι,
ἀποβλέπων εἰς τὸν ἀγρὸν, εἰρήνης ἐρῶν,
στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν,
ὃς οὐδεπώποτ' εἶπεν ΑΝΘΡΑΚΑΣ ΠΡΙΩ·
οὐκ ΟΞΟΣ, οὐκ ΕΛΑΙΟΝ, οὐδ' ᾔδη ΠΡΙΩ·
ἀλλ' αὐτὸς ἔφερε πάντα, χὡ ΠΡΙΩΝ ἀπῆν.
νῦν οὖν ἀτεχνῶς ἥκω παρεσκευασμένος
βοᾷν, ὑποκρούειν, λοιδορεῖν τοὺς ῥήτορας,
ἐάν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ.

Digitized by Google

isse? sed ob aliud quiddam aliquando delectatus fui, quum Dexitheus ingressus est vitulo certaturus, fidibusque cantaturus Bœotium. At hoc anno tædio enectus fui, et mihi distorsi collum, quum prodiit Chæris, ut Orthium modum tibia caneret. Verum ex quo in balineis me sordibus purgari curo, nunquam supercilia mea sic momordit lixivium, ut nunc, quum tempore legitimæ concionis matutinæ, deserta est Pnyx hæcce. At illi confabulantur in foro, et sursum deorsum fugitant rubrica tinctum funem. Nec Prytanes veniunt. Sed ubi tandem sero advenerint, tum mirum in modum sese invicem trudent, confestim ingruentes, concurrentes, certantesque de primo subsellio. Pax autem quo pacto fiat, nihil pensi habent: ô cives, cives! At ego semper primus in concionem veniens sedeo: deinde quum hic solus sum, ingemisco, hieto, pandiculor, pedo, dubius hæsito, baculo solum conscribillo, pilos mihi evello, computo, rus spectans, pacis cupidus, urbem exosus, pagum autem meum desiderans, qui mihi nunquam dixit, *Carbones eme*, nec *acetum*, nec *oleum*; nec norat illud *eme*. Sed ipse omnia ferebat, et aberat istud, quod mihi cor dissecat, *eme*. Nunc itaque adveni plane paratus clamare, obloqui, conviciari oratores, si quis aliud quam de pace dicat. Sed eccos jam

Digitized by Google

Prytanes meridie advenientes. Nonne dicebam? hoc illud est, quod autumabam, in prima subsellia se quisque intrudit.

Præc. Procedite ulterius, procedite, ut intra lustratum sitis locum.

Amph. Jamne aliquis dixit?

Præc. Quis verba facere vult?

Amph. Ego.

Præc. Quis tu es?

Amph. Amphitheus.

Præc. Non homo?

Amph. Non: sed immortalis. Nam Amphitheus erat Ceceris et Triptolemi filius; ex illo Celeus nascitur: Celeus autem uxorem duxit Phænaretam aviam meam, ex qua Lycinus natus est, qui me immortalem genuit. Mihi vero soli permiserunt dii inducias pacisci cum Lacedæmoniis. At ego immortalis qui sum, ô amici, viaticum non habeo: non enim mihi subministrant Prytanes.

Præc. Eho lictores—

Amph. O Triptoleme et Celee, mene abripi patiemini?

Dic. O Prytanes, injuriam facitis congregato populo, quum hunc virum abduci jubetis, qui volebat nobis inducias facere, et suspendere clypeos.

Præc. Sede tacitus.

Dic. Non faciam, ita me Apollo amet, nisi de pace consultationem mihi proponatis.

Præc. Prodeant legati, qui ad Regem missi fuerant.

Digitized by Google

ἀλλ' οἱ Πρυτάνεις γὰρ οὑτοιὶ μεσημβρινοί.
οὐκ ἠγόρευον; τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον·
ἐς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται.
Κη. πάριτ' ἐς τὸ πρόσθεν,
πάριθ', ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.
Αμ. ἤδη τις εἶπε;
Κη. τίς ἀγορεύειν βούλεται;
Αμ. ἐγώ.
Κη. τίς ὤν.
Αμ. Ἀμφίθεος.
Κη. οὐκ ἄνθρωπος;
Αμ. οὔκ·
ἀλλ' ἀθάνατος. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν,
καὶ Τριπτολέμου· τούτου δὲ Κελεὸς γίγνεται·
γαμεῖ δὲ Κελεὸς Φαιναρέτην τήθην ἐμήν,
ἐξ ἧς Λυκῖνος ἐγένετ'· ἐκ τούτου δ' ἐγὼ
ἀθάνατός εἰμ'· ἐμοὶ δ' ἐπέτρεψαν οἱ θεοὶ
σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους μόνῳ.
ἀλλ' ὢν ἀθάνατος, ὦ 'νδρες, ἐφόδι' οὐκ ἔχω·
οὐ γὰρ διδόασιν οἱ Πρυτάνεις.
Κη. οἱ τοξόται--
Αμ. ὦ Τριπτόλεμε, καὶ Κελεὲ, περιόψεσθέ με;
Δι. ὦ 'νδρες, Πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν,
τὸν ἄνδρ' ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε
σπονδὰς ποιῆσαι, καὶ κρεμάσαι τὰς ἀσπίδας.
Κη. κάθησο σῖγα.
Δι. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὐκ·
ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.
Κη. οἱ παρὰ Βασιλέως πρέσβεις---

Digitized by Google

Δι. ποίου βασιλέως; ἄχθομαι γὰρ πρέσβεσι,
καὶ τοῖς ταῶσι, τοῖς τ' ἀλαζονεύμασι.
Κη. σίγα.
Δι. βαβαιὰξ, ὦ 'κβάτανα, τοῦ σχήματος.
Πρ. ἐπέμψαθ' ἡμᾶς ὡς Βασιλέα τὸν Μέγαν,
μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας.
ἐπ' Εὐθυμένους Ἄρχοντος—
Δι. οἴμοι τῶν δραχμῶν.
Πρ. καὶ δῆτ' ἐτρυχόμεσθα διὰ τῶν Καϋστρίων
πεδίων ὁδοιπλανῶντες ἐσκηνημένοι,
ἐφ' ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,
ἀπολλύμενοι.
Δι. σφόδρα γὰρ ἐσωζόμην ἐγὼ,
παρὰ τὴν ἔπαλξιν ἐν φορυτῷ κατακείμενος;
Πρ. ξενιζόμενοι δὲ, πρὸς βίαν ἐπίνομεν
ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων
ἄκρατον οἶνον ἡδύν.
Δι. ὦ Κραναὰ πόλις,
ἆρ' αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων;
Πρ. οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους,
τοὺς πλεῖστα δυναμένους φαγεῖν τε καὶ πιεῖν.
Δι. ἡμεῖς δὲ, λαικαστάς τε καὶ καταπύγονας.
Πρ. ἔτει τετάρτῳ δ' εἰς τὰ βασίλει' ἤλθομεν·
ἀλλ' εἰς ἀπόπατον ᾤχετο, στρατιὰν λαβὼν,
κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.
Δι. πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;
Πρ. τῇ πανσελήνῳ· κᾆτ' ἀπῆλθεν οἴκαδε.
εἶτ' ἐξένιζε, παρετίθει δ' ἡμῖν ὅλους

Digitized by Google

Dic. Quem regem? tædium enim me cepit legatorum, et ronum illorum, stolidarumque jactantiarum.

Præc. Sile.

Dic. Papæ! ô Ecbatana! quis hic est habitus insolens?

Leg. Misistis nos, Euthymene Archonte, ad Magnum Rem, attributa nobis in singulos dies duarum drachmarum ercede.

Dic. Hei mihi drachmarum!

Leg. Afflictati autem sumus misere, per Caystrios campos errando sub tentoriis, in carpentis molliter cubantes, ærumis confecti.

Dic. Scilicet mecum bene agebatur, quum ad propugnacuum in paleis cubarem.

Leg. Excepti autem hospitio cogebamur bibere e vitreis poulis et aureis phialis merum dulce.

Dic. O Cranai civitas, num sentis, ut te ludificentur legati?

Leg. Barbari enim solos eos esse viros deputant, qui plurinum valent esse et bibere.

Dic. At nos eosdem scortatores et cinædos esse deputamus.

Leg. Anno autem quarto ad regiam pervenimus: sed Rex bierat ventris exonerandi gratia, abducto secum exercitu, nensesque perpetuos octo cacavit in aureis montibus.

Dic. Quanto autem tempore contraxit podicem?

Leg. Plenilunio: deinde abiit domum: tum nos hospitio xcepit, nobisque anteposuit integros e clibano boves.

Digitized by Google

Dic. Et quis vidit unquam boves in clibano tostos? ô ja tantiam!

Leg. Atque hercle avem triplo majorem Cleonymo adposu nobis: nomen autem ei erat *Derisor*.

Dic. Propterea ergo tu nos derides, acceptis duabus drac mis.

Leg. Et nunc venimus adducentes istum Pseudartabai qui est Regis oculus.

Dic. Utinam, ô Legate, tuum ipsius oculum tundendo e cutiat corvus!

Præc. Prodeat Regis oculus.

Dic. O magne Hercules! Per deos obsecro, mi homo, st tionemne vides, aut circa promontorium flectens navale observa adeo timide incedis et caute circumspicis? suffultus mihi vid tur oculus tuus loro, ut remus in navi.

Leg. Agedum tu eloquere, quæ te Rex misit nuntiaturu Atheniensibus, ô Pseudartaba.

Pseud. Iartaman exarx' anapissonai satra.

Leg. Intellexistisne quid dicat?

Dic. Non equidem, ita me Apollo amet.

Leg. Ait Regem vobis aurum missurum. Enuntia majo voce et clare aurum.

Pseud. Non accipies aurum, cinæde Iaona.

Dic. Hei mihi misero! quam clare!

Præc. Quid jam dicit?

Dic. Rogas? Cinædos esse dicit Iaonas, si exspectant a rum a Barbaris.

Leg. Nihil istius dicit; sed auri medimnos commemor iste.

Digitized by Google

ἐκ κριβάνου βοῦς.
Δι. καὶ τίς εἶδε πώποτε
βοῦς κριβανίτας; τῶν ἀλαζονευμάτων.
Πρ. καὶ, ναὶ μὰ Δί', ἔρνιν τριπλάσιον Κλεωνύμου
παρέθηκεν ἡμῖν· ὄνομα δ' ἦν αὐτῷ ΦΕΝΑΞ.
Δι. ταῦτ' ἄρ' ἐφενάκιζες σὺ, δύο δραχμὰς φέρων.
Πρ. καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν,
τὸν Βασιλέως ὀφθαλμόν.
Δι. ἐκκόψειέ γε
κόραξ πατάξας τόν γε σὸν τοῦ πρέσβεως.
Κη. ὁ Βασιλέως ὀφθαλμὸς---
Δι. ὦ ̓ναξ Ἡράκλεις·
πρὸς τῶν θεῶν, ἄνθρωπε, ναύφρακτον βλέπεις,
ἢ περὶ ἄκραν κάμπτων, νεώσοικον σκοπεῖς;
ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.
Πρ. ἄγε δὴ σὺ, Βασιλεὺς ἅττα σ' ἀπέπεμψεν, φράσον
λέξοντ' Ἀθηναίοισιν, ὦ Ψευδαρτάβα.
Ψε. ἰαρταμὰν ἐξαρξ' ἀναπισσόναι σάτρα.
Πρ. ξυνήκαθ', ὃ λέγει;
Δι. μὰ τὸν Ἀπόλλω 'γω μὲν οὔ.
Πρ. πέμψειν Βασιλέα φησὶν ὑμῖν χρυσίον.
λέγε δὴ σὺ μεῖζον, καὶ σαφῶς τὸ χρυσίον.
Ψε. οὐ λῆψι χρῦσο χαυνόπρωκτ' Ἰαοναῦ.
Δι. οἴμοι κακοδαίμων, ὡς σαφῶς.
Κη. τί δ' αὖ λέγει;
Δι. ὅ τι; χαυνοπρώκτους τοὺς Ἰάονας λέγει,
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.
Πρ. οὐκ· ἀλλ' ἀχάνας ὁδί γε χρυσίου λέγει.

Digitized by Google

Δι. ποίας ἀχάνας; σὺ μὴν ἀλαζὼν εἶ μέγας.
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.
ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς, πρὸς τουτονὶ,
ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν.
Βασιλεὺς ὁ Μέγας ἡμῖν ἀποπέμψει χρυσίον;
(ἀνανεύει ὁ Ψευδαρτάβας)
ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων;
(ἐπινεύει ὁ Ψευδαρτάβας)
Ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες οὑτοιί.
οὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ
ἐγῷδ', ὅς ἐστι Κλεισθένης ὁ Σιβυρτίου.
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε·
τοιόνδε δ', ὦ πίθηκε, τὸν πώγων' ἔχων,
εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
ὁδὶ δὲ, τίς ποτ' ἐστίν; οὐ δήπου Στράτων;
Κη. σίγα, κάθιζε.
τὸν Βασιλέως ὀφθαλμὸν ἡ Βουλὴ καλεῖ
ἐς τὸ Πρυτανεῖον.
Δι. τοῦτο δῆτ' οὐκ ἀγχόνη;
κᾆπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ στραγγεύομαι;
τούσδε ξενίζειν οὐδέποτ' ἴσχει γ' ἡ θύρα.
ἀλλ' ἐργάσομαί τι δεινὸν ἔργον καὶ μέγα.
ἀλλ' Ἀμφίθεός μοι ποῦ 'στιν;
Αμ. οὑτοσὶ πάρα.
Δι. ἐμοὶ σὺ, ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς,
σπονδὰς ποίησαι πρὸς Λακεδαιμονίους μόνῳ,
καὶ τοῖσι παιδίοισι, καὶ τῇ πλάτιδι·

Digitized by Google

Dic. Quosnam medimnos? tu quidem magnus es jactator. Sed abi: ego autem hunc solus examinabo. Agedum tu dic mihi clare, huic, inquam, homini, ne te tingam tinctura Sardianica; anne aurum nobis mittet Rex Magnus?

(renuit Pseudartabas.)

Temere itaque decipimur a legatis.

(adnuit Pseudartabas.)

Græco utique more isti viri adnuunt. Nunquam quisquam faciet, quin indidem sint ex hac urbe. Et eunuchorum alter iste qui sit, novi: Clisthenes, inquam, est, Sibyrti filius. O qui culum invenisti calidi consili! talemne, ô simie, habens barbam, eunuchi ornatu nobis huc venisti? Iste vero quis est? num forte Strato?

Præc. Sile, sede. Regis oculum Senatus vocat in Prytaneum.

Dic. Nonne hæc ad suspendium aliquem adigant? et tamen hic diutius moror! Istis, si quos hospitio excipere velint, semper patent Prytanei fores. Sed perpetrabo facinus magnum et memorabile. Ubinam est mihi Amphitheus?

Amph. Eccum adest.

Dic. Tu mihi, sumtis his octo drachmis, inducias paciscere cum Lacedæmoniis soli, et liberis et uxori: vos vero legatos mittite, et auras captate.

Digitized by Google

Præc. Accedat Theorus, qui a Sitalce rediit.

Theo. Eccum.

Dic. Alius jactator hicce prodire jubetur.

Theo. Non multo tempore morati fuissemus in Thracia—

Dic. Non hercle, nisi multam mercedem acciperes.

Theo. Nisi contecta fuisset omnis Thracia nive, et fluvios constrinxisset gelu sub idem tempus, quando hic Theognis certavit tragœdiis. Interea potavi cum Sitalce; et sane supra modum studiosus erat Atheniensium, vereque amator vester: itaque etiam in parietibus scripsit *Athenienses belli*. Gnatus autem ejus, quem civem adscivimus Atheniensem, cupiebat isicium comedere ex Apaturiis, et patrem oravit, ut patriæ succurreret: at ille juravit libans se opem laturum cum tanto exercitu, ut Athenienses dicant: *Quanta multitudo locustarum advenit!*

Dic. Male peream, si quicquam istorum, quæ tu hic dixti, credo, præter locustas.

Theo. Et nunc illam gentem, quæ bellicosissima habetur inter Thracas, nobis misit.

Dic. Istuc quidem jam perspicuum fieri occipit.

Præc. Vos Thraces adeste, quos Theorus adduxit.

Dic. Quid hoc mali est?

Theo. Odomantorum exercitus.

Dic. Quorum Odomantorum? Dic mihi, hoc quid erat? quisnam Odomantis mutilavit penem? quis?

Digitized by Google

ὑμεῖς δὲ πρεσβεύεσθε, καὶ κεχήνατε.
Κη. προσίτω Θέωρος ὁ παρὰ Σιτάλκους.
Θε. ὁδί.
Δι. ἕτερος ἀλαζὼν οὗτος εἰσκηρύττεται.
Θε. χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν---
Δι. μὰ Δί᾽ οὐκ ἄν, εἰ μισθόν γε μὴ ᾽φερες πολύν.
Θε. εἰ μὴ κατένιψε χιόνι τὴν Θρᾴκην ὅλην,
καὶ τοὺς ποταμοὺς ἔπηξ᾽ ὑπ᾽ αὐτὸν τὸν χρόνον,
ὅτ᾽ ἐνθαδὶ Θέογνις ἠγωνίζετο.
τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον·
καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς,
ὑμῶν τ᾽ ἐραστὴς ἦν ἀληθῶς, ὥστε καὶ
ἐν τοῖσι τοίχοις ἔγραφ᾽ ΑΘΗΝΑΙΟΙ ΚΑΛΟΙ.
ὁ δ᾽ υἱός, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
ἤρα φαγεῖν ἀλλᾶντος ἐξ Ἀπατουρίων,
καὶ τὸν πατέρ᾽ ἠντιβόλει βοηθεῖν τῇ πάτρᾳ·
ὁ δ᾽ ὤμοσε σπένδων βοηθήσειν, ἔχων
στρατιὰν τοσαύτην, ὥστ᾽ Ἀθηναίους ἐρεῖν·
Ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.
Δι. κάκιστ᾽ ἀπολοίμην, εἴ τι τούτων πείθομαι,
ὧν εἶπας ἐνταυθοῖ σύ, πλὴν τῶν παρνόπων.
Θε. καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνος
ἔπεμψεν ὑμῖν.
Δι. τοῦτο μέν γ᾽ ἤδη σαφές.
Κη. οἱ Θρᾷκες, ἴτε δεῦρ᾽, οὓς Θέωρος ἤγαγε.
Δι. τουτὶ τί ἐστι τὸ κακόν;
Θε. Ὀδομάντων στρατός.
Δι. ποίων Ὀδομάντων; εἰπέ μοι, τουτὶ τί ἦν;

Digitized by Google

τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτέθρακε;

Θε. τίς;

τούτοις ἐὰν δραχμὰς δύο τις μισθὸν διδῷ,

καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.

Δι. τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;

ὑποστένοι μέν τ' ἄν γ' ὁ θρανίτης λεὼς,

ὁ σωσίπολις. οἴμοι τάλας, ἀπόλλυμαι,

ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος.

οὐ καταβαλεῖτε τὰ σκόροδ';

Θε. ὦ μόχθηρε σὺ,

οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις.

Δι. ταυτὶ περιείδεθ' οἱ Πρυτάνεις πάσχοντά με

ἐν τῇ πατρίδι, καὶ ταῦθ' ὑπ' ἀνδρῶν βαρβάρων;

ἀλλ' ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν

τοῖς Θρᾳξὶ περὶ μισθοῦ· λέγω δ' ὑμῖν, ὅτι

διοσημί' ἐστὶ, καὶ ῥανὶς βέβληκέ με.

Κη. τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἕνην.

οἱ γὰρ Πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.

Δι. οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα.

ἀλλ' ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί.

χαῖρ' Ἀμφίθεε.

Αμ. μήπω, πρὶν ἄν γε στῶ τρέχων.

δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας.

Δι. τί δ' ἐστίν;

Αμ. ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων

ἔσπευδον· οἱ δ' ὤσφροντο πρεσβῦταί τινες

Ἀχαρνικοὶ, στιπτοὶ γέροντες, πρίνινοι,

ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι.

Digitized by Google

Theo. Isti, si quis eis mercedem dederit duas drachmas, incursionibus infestabunt omnem Bœotiam.

Dic. Hisne recutitis duas drachmas? ingemiscat utique remigum universus populus, sospitator urbis. Hei mihi misero! pereo: ab Odomantis allia mihi populantur. Nonne projicietis allia?

Theo. O improbe, cave ne accedas ad istos, qui alliati sunt.

Dic. Siccine me injuria affici sinitis, ô Prytanes, in patria, idque a barbaris hominibus. Sed interdico, ne concio habeatur Thracibus super mercede. Dico autem vobis ostentum factum esse, et me gutta pluviæ percussit.

Præc. Thraces abeant, et adsint post tertium diem: nam Prytanes dimittunt concionem.

Dic. Hei mihi misero! quantum alliati perdidi! Verumenimvero ex Lacedæmone adest iste Amphitheus. Salve Amphithee.

Amph. Nondum etiam, priusquam currere desiero. Nam fuga me effugere oportet Acharnenses.

Dic. Quid rei est?

Amph. Tibi ferens inducias huc properabam: sed olfecerunt quidam Acharnenses vetuli, duri senes, iligni, immites, qui olim Marathone pugnarunt, acerni; mox autem uno ore ex-

Digitized by Google

clamarunt: *O impurissime, inducias fers, quum vites excisæ sint ab hostibus?* simulque lapides colligebant in pallia. Ego autem in pedes me conjeci; illi vero me persecuti sunt vociferantes.

Dic. Vociferentur sane illi. Tu vero fersne inducias?

Amph. Fero, inquam, tria hæcce specimina. Istæ quidem sunt quinquennales; cape et gusta.

Dic. Phui!

Amph. Quid est?

Dic. Non placent mihi, quia redolent picem et apparatum navium.

Amph. Decennales has ergo cape, easque gusta.

Dic. Redolent istæ etiam perquam acerbe legatos in urbes abeuntes questum de sociorum mora.

Amph. At istæ sunt induciæ tricennales terra marique.

Dic. O festivitas! redolent istæ quidem ambrosiam et nectar; nec jubent commeatum parare in tres dies; palamque et aperte dicunt, *I, quo lubet*. Has accipio et libo et bibo, Acharnensibus multum valere jussis: ego vero solutus bello et ærumnis, rus ibo, ibique agam Liberalia.

Amph. At ego fugere pergam, ne me corripiant Acharnenses.

Chor. Hac omnis sequere, persequere, et sciscitare de homine ex viatoribus omnibus: nam ad rempublicam pertinet comprehendi hunc hominem. Sed mihi indicium facite, si quis novit quonam se gentium convertit iste qui fert inducias.

Digitized by Google

ἔπειτ' ἀνέκραγον πάντες· Ὦ μιαρώτατε,
σπονδὰς φέρεις, τῶν ἀμπέλων τετμημένων;---
κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων·
ἐγὼ δ' ἔφευγον· οἱ δ' ἐδίωκον, κἀβόων.

Δι. οἱ δ' οὖν βοώντων. ἀλλὰ τὰς σπονδὰς φέρεις;

Αμ. ἔγωγε, φημὶ, τρία γε ταυτὶ γεύματα.
αὗται μέν εἰσι πεντέτεις. γεῦσαι λαβών.

Δι. αἰβοῖ.

Αμ. τί ἐστιν;

Δι. οὐκ ἀρέσκουσίν μ', ὅτι
ὄζουσι πίττης, καὶ παρασκευῆς νεῶν.

Αμ. σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.

Δι. ὄζουσι χ' αὗται πρέσβεων ἐς τὰς πόλεις
ὀξύτατον, ὥσπερ διατριβῆς τῶν ξυμμάχων.

Αμ. ἀλλ' αὑταιὶ σπονδαὶ τριακοντούτιδες,
κατὰ γῆν τε καὶ θάλατταν.

Δι. ὦ Διονύσια.
αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος,
καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν,
κἀν τῷ ςόματι λέϝουσι, ΒΙΝ' ΟΠΟΙ ΘΕΛΕΙΣ.
ταύτας δέχομαι, καὶ σπένδομαι, κἀκπίομαι,
χαίρειν κελεύων πολλὰ τοὺς Ἀχαρνέας·
ἐγὼ δὲ, πολέμου καὶ κακῶν ἀπαλλαγεὶς,
ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια.

Αμ. ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας.

Χο. τῇδε πᾶς ἕπου, δίωκε, καὶ τὸν ἄνδρα πυνθάνου
τῶν ὁδοιπόρων ἁπάντων· τῇ πόλει γὰρ ἄξιον
ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύετε,

Digitized by Google

εἴ τις οἶδ' ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων.

Ημ. ἐκπέφευγ', οἴχεται
φροῦδος.

Ημ. οἴμοι τάλας,
τῶν ἐτῶν τῶν ἐμῶν.
οὐκ ἂν ἐπ' ἐμῆς γε νεό-
τητος, ὅτ' ἐγὼ φέρων
ἀνθράκων φορτίον
ἠκολούθουν Φαΰλλῳ τρέχων,
ὧδε φαύλως ἂν ὁ
σπονδοφόρος, ὑπ' ἐμοῦ δι-
ωκόμενος, ἐξέφυγεν,
οὐδ' ἂν ἐλαφρῶς ἂν ἀπεπλίξατο.
νῦν δ' ἐπειδὴ στεῤῥὸν ἤδη τοὐμὸν ἀντικνήμιον,
καὶ παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται,
οἴχεται.

Ημ. διωκτέος δέ· μὴ γὰρ ἐγχάνοι ποτὲ,
μηδέπερ γέροντας ὄντας, ἐκφυγὼν Ἀχαρνέας,
ὅστις, ὦ Ζεῦ πάτερ
καὶ θεοὶ, τοῖσιν ἐ-
χθροῖσιν ἐσπείσατο,
οἷσι παρ' ἐμοῦ πόλεμος
ἐχθοδοπὸς αὔξεται
τῶν ἐμῶν χωρίων·
κοὐκ ἀνήσω, πρὶν ἂν σχοῖνος αὐ-
τοῖσιν ἀντεμπαγῶ
ὀξὺς, ὀδυνηρὸς, ἐπί-
κωπος, ἵνα μήποτε

Digitized by Google

SEM. Effugit, abiit, evanuit.

CHOR. Hei mihi misero! O ætatem meam senectam! non sane in mea juventute, quum onustus carbonibus Phayllum assequebar currendo, iste ita facile induciarum gerulus a me tunc agitatus, effugisset, nec tam levi pede se abstulisset. At nunc, quum jam rigent genua mea, et Lacratidæ seni prægravantur crura, effugit.

SEM. At persequi eum oportet. Ne etenim unquam nos irrideat, licet senes simus, gloriando se Acharnenses effugisse, qui, ô Jupiter et dii, cum hostibus meis inducias pactus est, contra quos a me bellum infestum magis magisque augetur, ob vastata mea prædia: nec remittam, priusquam velut juncus ipsis infixus hæream acutus, molestus, infestans eos classe, ne unquam conculcent meas vites.

Digitized by Google

Chor. Sed conquirere oportet hominem et lapidibus eum obruere, et persequi e loco in locum, donec inveniatur tandem. Nam ego lapidibus eum petendo satiari non possum.

DICÆOPOLIS, CHORUS, UXOR, FILIA, CEPHISOPHO, EURIPIDES, LAMACHUS.

Dic. Ore favete, ore favete.

Chor. Silete omnes. Audistisne hunc faventiam imperare? hic ipsus est, quem quærimus. Sed huc omnes concedite: nam ut videtur, iste homo sacrificaturus prodit.

Dic. Ore favete, ore favete. Procede paulo ulterius, tu canistrifera: erectum autem phallum statuat Xanthia.

Ux. Depone canistum, ô filia, ut sacra auspicemur.

Fil. Mater, huc mihi porrige trullam, ut pulte perfundam placentam hancce.

Dic. Ista quidem apparastis bene. O magne Dionyse, adnue, ut qui grato animo hanc pompam tibi duxi, et sacrificavi cum familiaribus, prospere agitem Dionysia ruralia, militia defunctus, utque mihi bene cedant induciæ tricennales.

Ux. Age, filia, da operam, ut canistrum bella belle portes, vultu austero, thymbramque tuens. O quam beatus erit, qui te inibit, facietque ut mustelæ non minus videantur visire, quam tu, sub lucis exortum! Progredere, et in turba sedulo cave, ne quis clam tuum arrodat aurum.

Digitized by Google

πατῶσ' ἔτι τὰς ἐμὰς ἀμπέλους.

Χο. ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα, καὶ βλέπειν Βαλλήναδε,
καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτε·
ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ, ΓΥΝΗ, ΘΥΓΑΤΗΡ, ΚΗΦΙΣΟΦΩΝ, ΕΥΡΙΠΙΔΗΣ, ΛΑΜΑΧΟΣ.

Δι. Εὐφημεῖτε, εὐφημεῖτε.

Χο. σῖγα πᾶς. ἠκούσατ' ἄνδρες ἄρα τῆς εὐφημίας;
οὗτος αὐτός ἐστιν, ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς
ἐκποδών· θύσων γὰρ ὡνὴρ, ὡς ἔοικ', ἐξέρχεται.

Δι. εὐφημεῖτε, εὐφημεῖτε.
προΐθ' ἐς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος·
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.

Γυ. κατάθου τὸ κανοῦν, ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.

Θυ. ὦ μῆτερ, ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
ἵν' ἔτνος καταχέω τοῦ 'λατῆρος τουτουΐ.

Δι. καὶ μὴν καλόν γ' ἔστ'. ὦ Διόνυσε δέσποτα,
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα, καὶ θύσαντα μετὰ τῶν οἰκετῶν,
ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια,
στρατιᾶς ἀπαλλαχθέντα· τὰς σπονδὰς δ' ἐμοὶ
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.

Γυ. ἄγ', ὦ θύγατερ, ὅπως τὸ κανοῦν καλὴ καλῶς
οἴσεις, βλέπουσα θυμβροφάγον. ὡς μακάριος,
ὅστις σ' ὀπύσει, κἀκποιήσεται γαλᾶς
πολὺ ἧττόν σου βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
πρόβαινε, κἀν τῷ 'χλῳ φυλάττεσθαι σφόδρα,

Digitized by Google

μή τις λαθὼν σου περιτράγῃ τὰ χρυσία.

Δι. ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου.
ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ Φαλλικόν·
σὺ δ', ὦ γύναι, θεῶ μ' ἀπὸ τοῦ τέγους. πρόβα.
Φαλῆς, ἑταῖρε Βακχίου,
ξύγκωμε, νυκτοπεριπλάνη-
τε, μοιχὲ, παιδεραστὰ,
ἕκτῳ σ' ἔτει προσεῖπον, ἐς
τὸν δῆμον ἐλθὼν ἄσμενος,
σπονδὰς ποιησάμενος ἐμαυ-
τῷ, πραγμάτων τε, καὶ μαχῶν,
καὶ Λαμάχων ἀπαλλαγείς.
πολλῷ γάρ ἐσθ' ἥδιον, ὦ Φαλῆς, Φαλῆς,
κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως,
μέσην λαβόντ', ἄραντα, κατα-
βαλόντα καταγιγαρτίσαι,
Φαλῆς, Φαλῆς.
ἐὰν μεθ' ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
ἕωθεν εἰρήνης ῥοφήσεις τρύβλιον·
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.

Χο. οὗτος αὐτός ἐστιν, οὗτος.
βάλλε, βάλλε, βάλλε, βάλλε,
παῖε, παῖε τὸν μιαρόν.
οὐ βαλεῖς; οὐ βαλεῖς;

Δι. Ἡράκλεις, τουτὶ τί ἐστι; τὴν χύτραν ξυντρίψετε.

Χο. σὲ μὲν οὖν καταλεύσομεν, ὦ μιαρὰ κεφαλή.

Digitized by Google

Dic. Vos, ô Xanthia, erectum oportet tenere phallum pone canistriferam: ego vero subsequens, Phallicum accinam: tu vero, mulier, specta me de tecto. Procede. Phalle, Bacchi amice, comissationum socie, noctivage, adulter, puerorum amator, sexto te demum adloquor anno, in pagum meum reversus lubenti animo, postquam inducias mihimet pactus sum, ærumnis et præliis et Lamachis defunctus. Multo enim est jucundius, ô Phalle, Phalle, si quis inveniens lignatricem venustam, Strymodori ancillam, furantem ligna ex Phelleo, sublimem mediam arripiat, humique prosternat, et ibidem permolat, ô Phalle, Phalle. Si nobiscum potaveris, hesterno vino gravis, mane pacis catinum sorbebis: clypeus autem in fumo pendebit.

Chor. Iste ipse est, iste. Jace, jace, jace, jace: percute impurum istum. Annon jacies, nonne?

Dic. O Hercules! quid hoc est? ollam mihi confringetis.

Chor. Quin te lapidibus obruemus, ô impurum caput.

Digitized by Google

Dic. Quamobrem, ô maxime omnium Acharnensium senes?

Chor. Istuc rogas? impudens es et sceleratus, ô proditor patriæ, qui quum solus ex nobis inducias pepegeris, tamen audes adspicere me.

Dic. Nescitis utique quamobrem pepigerim. Itaque audite.

Chor. Tene ut ego audiam? peribis. Obruemus te lapidibus.

Dic. Nequaquam, priusquam audiatis. Sed reprimite vos, ô boni.

Chor. Non me reprimam; neque tu jam verba feceris: nam odi te Cleone adhuc pejus, quem ego aliquando concidam Equitibus in soleas. Ex te autem longam orationem non audirem, qui amicus factus es Laconibus; sed pœnas de te sumam.

Dic. O boni, Laconas missos facite, et audite an recte inducias pepigerim.

Chor. At quo modo possis id recte factum dicere, si modo semel pepigisti cum illis, quibus nec ara, nec fides, nec jusjurandum certum manet?

Dic. At equidem scio Laconas, quos nimis premimus odio, non esse omnium malorum nobis causam.

Chor. Non omnium vero, ô nequissime? hæccine audes dicere palam coram nobis? et tamen ego tibi parcam?

Dic. Non omnium, inquam, non omnium. Quin ego, quem

Digitized by Google

Δι. ἀντὶ ποίας αἰτίας, ὦ 'χαρνέων γεραίτατοι;
Χο. τοῦτ' ἐρωτᾷς: ἀναί-
σχυντος εἶ καὶ βδελυρὸς,
ὦ προδότα τῆς πατρίδος,
ὅστις ἡμῶν μόνος
σπεισάμενος, εἶτα δύνα-
σαι πρὸς ἔμ' ἀποβλέπειν.
Δι. ἀντὶ δ' ὧν ἐσπεισάμην, οὐκ ἴστε γ'· ἀλλ' ἀκούσατε.
Χο. σοῦ γ' ἀκούσομ'; ἀπολεῖ.
κᾆτά σ' αὖ χώσομεν τοῖς λίθοις.
Δι. μηδαμῶς γε, πρὶν ἂν ἀκούσητ'· ἀλλ' ἀνάσχοισθ', ὦ 'γαθοί.
Χο. οὐκ ἀνασχήσομαι·
μηδὲ λέγε δὴ σὺ λόγον·
ὡς μεμίσηκά σε Κλέ-
ωνος ἔτι μᾶλλον, ὃν ἐ-
γωγε κατατεμῶ τοῖσιν ἱππεῦσιν ποτὲ
ἐς καττύματα.
σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακροὺς,
ὅστις ἐσπείσω Λάκωσιν· ἀλλὰ τιμωρήσομαι.
Δι. ὦ 'γαθοὶ, τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐάσατε·
τῶν δ' ἐμῶν σπονδῶν ἀκούσατ', εἰ καλῶς ἐσπεισάμην.
Χο. πῶς δέ γ' ἂν καλῶς λέγοις ἂν, εἴπερ ἐσπείσω 'γ ἅπαξ,
οἶσιν οὔτε βωμὸς, οὔτε πίστις, οὔθ' ὅρκος μένει;
Δι. οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας, οἷς ἄγαν ἐγκείμεθα,
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.
Χο. οὐχ ἁπάντων, ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷς λέγειν
ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγώ σου φείσομαι;
Δι. οὐχ ἁπάντων, οὐχ ἁπάντων. ἀλλ' ἐγὼ λέγων ὁδὶ

Digitized by Google

πόλλ᾽ ἂν ἀποφήναιμ᾽ ἐκείνους ἔσθ᾽ ἃ κἀδικουμένους.
Χο. τοῦτο τοὖπος δεινὸν ἤδη, καὶ ταραξικάρδιον,
εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.
Δι. κἂν γε μὴ λέγω δίκαια, μηδὲ τῷ πλήθει δοκῶ,
ὑπὲρ ἐπιξήνου θελήσω τὴν δέρην ἔχων λέγειν.
Χο. εἰπέ μοι, τί φειδόμεσθα τῶν λίθων, ὦ δημόται,
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα;
Δι. οἷος αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν.
οὐδ᾽ ἀκούσεσθ᾽, οὐδ᾽ ἀκούσεσθ᾽ ἐτεόν, ὦ ᾽χαρνηΐδαι;
Χο. οὐκ ἀκουσόμεσθα δῆτα.
Δι. δεινά γ᾽ ἄρα πείσομαι.
Χο. ἐξολοίμην, ἢν ἀκούσω.
Δι. μηδαμῶς, ὦ ᾽χαρνικοί.
Χο. ὡς τεθνήξων ἴσθι νυνί.
Δι. δήξομ᾽ ἄρ᾽ ὑμᾶς ἐγώ.
ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺς φιλτάτους·
ὡς ἔχω γ᾽ ὑμῶν ὁμήρους, οὓς ἀποσφάξω λαβών.
Χο. εἴπ᾽ ἐμοί, τί τοῦτ᾽ ἀπειλεῖ τοὔπος, ἄνδρες δημόται,
τοῖς Ἀχαρνικοῖσιν; ὑμῶν μῶν ἔχει του παιδίον
τῶν παρόντων ἔνδον εἵρξας; ἢ ᾽πὶ τῷ θρασύνεται;
Δι. βάλλετ᾽, εἰ βούλεσθ᾽. ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.
εἴσομαι δ᾽ ὑμῶν τάχ᾽ ὅστις ἀνθράκων τι κήδεται.
Χο. ὡς ἀπωλόμεσθ᾽. ὁ λάρκος δημότης ὅδ᾽ ἔστ᾽ ἐμός.
ἀλλὰ μὴ δράσῃς, ὃ μέλλεις· μηδαμῶς, ὦ μηδαμῶς.
Δι. ὡς ἀποκτενῶ, κέκραχθ᾽. ἐγὼ γὰρ οὐκ ἀκούσομαι.
Χο. ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα.
Δι. οὐδ᾽ ἐμοῦ λέγοντος ὑμεῖς ἀρτίως ἠκούσατε.
Χο. ἀλλὰ νῦν λέγ᾽, εἴ σοι δοκεῖ, τόν τε Λακεδαι-

Digitized by Google

videtis, ipse varie ostendere possim, eos etiam in nonnullis injuriam pati.

Chor. Istud jam verbum acerbum est, et cor meum perturbat si tu audebis pro hostibus apud nos verba facere.

Dic. Et, nisi dixero, quæ justa sunt, ac populo talia videbuntur, super trunco lanionio posita cervice volo verba facere.

Chor. Age, ô populares, cur parcimus lapidibus, quin hunc concerpamus ut lanam puniceæ vesti faciendæ.

Dic. En qualis fuligo iracundiæ rursus in vobis exardescit! non audietis, non audietis me, quæso, ô Acharnidæ?

Chor. Non sane audiemus.

Dic. Indigne ergo mecum agetur.

Chor. Dispeream, si audivero.

Dic. Nequaquam, ô Acharnici.

Chor. Scito te jam moriturum.

Dic. Faciam ergo quod vos mordeat. Contra enim occidam illos, qui amicorum vestrorum sunt vobis carissimi. Quippe a vobis habeo obsides, quos jugulabo.

Chor. Dicite mihi, viri populares, quid minatur hoc verbum Acharnicis? num cujuspiam nostrûm, qui adsumus, gnatum tenet intus conclusum? aut quanam fiducia fretus tam audax est?

Dic. Jacite, si vultis, lapides: at ego hunc perdam: mox autem cognoscam, ecquem vestrûm tangit carbonum cura.

Chor. Periimus! cophinus iste meus est popularis. Sed ne faxis, quod instituisti: nequaquam ô nequaquam.

Dic. Utique hunc occidam; ejula quantumvis; etenim haud auscultabo.

Chor. Perdes ergo æqualem istum meum et amicum carbonarium.

Dic. Nec vos, quæ dicerem, auscultabatis modo.

Chor. At nunc dic, si tibi videtur, vel de Lacedæmoniis ip-

Digitized by Google

sis, quodcunque animo tuo collubitum est. Nam istum ego cophinulum haud deseram unquam.

Dic. Jamprimum mihi lapides effundite humi.

Chor. En tibi humi jacent: tu etiam vicissim depone gladium.

Dic. Sed videndum ne in palliis forte supersint absconditi lapides.

Chor. Excussi sunt humi. Nonne vides, ut excutitur pallium? sed ne mihi causas finge; verum depone gladium: nam et sinus excutitur hicce, dum saltans in alteram partem convertor.

Dic. Debebatis ergo clamorem omnes tollere, simulque lapides excutere: parum autem abfuit quin pessum irent carbones Parnasii, idque propter imprudentiam suorum popularium: adeoque formidine pressus fuit hic cophinus, ut atri pulveris, ad morem sepiæ, multum mihi cacaverit. Enimvero viris periculosum est tam immiti esse animo, ut statim jaculentur et clamitent, nolintque auscultare æquas conditiones, qualem ego offero, quum volo super trunco lanionio dicere omnia, quæcunque pro Lacedæmoniis dixero: et tamen amo etiam vitam meam ego.

Chor. Cur itaque non dicis, foras prolato trunco lanionio, quodcunque tandem, ô perdite, dicendum habes tanti momenti? quid enim cogites, audire prorsus aveo. Sed, quemadmodum ipse tibi pœnam decrevisti, huc truncum statue, postque incipe dicere.

Digitized by Google

μόνιον αὐτὸν ὅ τι τῷ τρόπῳ τοῦ 'στιν φίλον·
ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.

Δι. τοὺς λίθους νῦν μοι χαμᾶζε πρῶτον ἐξεράσατε.

Χο. οὑτοιί σοι χαμαὶ, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος.

Δι. ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.

Χο. ἐκσέσεισται χαμᾶζ'. οὐχ ὁρᾷς σειόμενον;
ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος.
ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίγνεται.

Δι. ἐμέλλετ' ἄρ' ἅπαντες ἀνασείειν μετὰ βοῆς,
ὀλίγου τ' ἀπέθανον ἄνθρακες Παρνάσιοι,
καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.
ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
ὁ λάρκος ἐνετίλησεν, ὥσπερ σηπία.
δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι
τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν,
ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον,
ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν
ὑπὲρ Λακεδαιμονίων ἅπανθ', ὅσ' ἂν λέγω·
καί τοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.

Χορός.

τί οὖν οὐ λέγεις, τοὐπίξηνον
ἐξενέγκων θύραζ',
ὅ τι ποτ', ὦ σχέτλιε,
τὸ μέγα τοῦτ' ἔχεις;
πάνυ γὰρ ἐμέ γε πόθος,
ὅ τι φρονεῖς, ἔχει.
ἀλλ', ᾗπερ αὐτὸς τὴν δίκην διωρίσω,

Digitized by Google

θεὶς δεῦρο τοὐπίξηνον, ἐγχείρει λέγειν.
Δι. ἰδοὺ θεᾶσθε, τὸ μὲν ἐπίξηνον τοδί·
ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ, τυννουτοσί.
ἀμέλει, μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι·
λέξω δ' ὑπὲρ Λακεδαιμονίων, ἅ μοι δοκεῖ.
καί τοι δέδοικα πολλά· τούς τε γὰρ τρόπους
τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα,
ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν
ἀνὴρ ἀλαζὼν, καὶ δίκαια κἄδικα·
κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι.
τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχὰς, ὅτι
οὐδὲν βλέπουσιν ἄλλο, πλὴν ψήφῳ δάκνειν·
αὐτός τ' ἐμαυτὸν, ὑπὸ Κλέωνος ἅπαθον,
ἐπίσταμαι, διὰ τὴν πέρυσι κωμῳδίαν.
εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον
διέβαλλε, καὶ ψευδῆ κατεγλώττιζέ μου,
κἀκυκλοβόρει, κἄπλυνεν· ὥστ' ὀλίγου πάνυ
ἀπωλόμην, μολυνοπραγμονούμενος.
νῦν οὖν με πρῶτον, πρὶν λέγειν, ἐάσατε
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
Χο. τί ταῦτα στρέφει, καὶ τεχνάζεις,
καὶ πορίζεις τριβάς;
λαβὲ δ' ἐμοῦ γ' ἕνεκα
παρ' Ἱερωνύμου
σκοτοδασυπυκνότριχά
τιν' Ἄϊδος κυνῆν·
εἶτ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου,
ὡς σκῆψιν ἂν ἀγὼν οὗτος οὐκ ἐσδέξεται.

Digitized by Google

Dic. En, videte. Iste est truncus lanionius: vir autem qui verba faciet, hic, ego inquam, tantillus. Clypeo me non muniam hercle; ne id putetis. Dicam autem pro Lacedæmoniis, quæ mihi videantur, quamvis multa timeam. Nam et animi agricolarum scio quam valde gestiant, si ipsos et civitatem laudet homo quispiam jactator, qua jure qua injuria. Atque hic tum non advertunt animum se venundari. Senum item novi ingenium, ut nihil spectent, quam calculo ut mordeant. Ipse quoque quid a Cleone sim passus, scio, propter comœdiam præterito anno editam; nam me in Senatum protractum calumniatus est, et falsa in me effutiit crimina, et magno verborum fragore obtudit, et maledictis perfudit, ut minimum abfuerit, quin perirem, fœdatus ejus conviciis. Nunc igitur primum, antequam verba faciam, sinite me amiciri in modum hominis miserrimi.

Chor. Quid tam versute et dolose moliris, atque moras nectis? sumas per me licet ab Hieronymo umbrosam aliquam et hirsutam Orci galeam: deinde expande machinationes Sisyphi: nam istud certamen nullam excusationem admittet.

Digitized by Google

Dic. Tempus nunc est ut fortem animum adsumam, et mihi adeundus est Euripides. Puer, puer!

Ceph. Quis iste?

Dic. Estne intus Euripides?

Ceph. Non intus est, intus est, si mentem habes.

Dic. Quomodo intus, et rursum non intus?

Ceph. Recte, ô senex. Animus quidem foris colligens versiculos non intus est: ipse autem intus in sublimi sedens facit tragœdiam.

Dic. O terbeate Euripide, qui servum habes tam sapienter respondere doctum! evoca ipsum.

Ceph. At fieri hoc nequit.

Dic. Attamen. Non enim abierim: sed pultabo januam. Euripide, Euripidisce, ausculta mihi, si unquam auscultasti cuiquam. Dicæopolis vocat te Chollides, ego, inquam.

Eur. Sed non est otium.

Dic. Sed te huc promoveri jube.

Eur. Sed id fieri non potest.

Dic. Attamen.

Eur. Sed promovebor quidem: verum descendendi non est otium.

Dic. Euripide—

Eur. Quid vociferaris?

Dic. In sublime evectus tragœdias facis, quum idem liceat

Digitized by Google

Δι. ὥρα 'στὶν ἤδη καρτερὰν ψυχὴν λαβεῖν,
καί μοι βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.
παῖ, παῖ.
Κη. τίς οὗτος;
Δι. ἔνδον ἔστ' Εὐριπίδης;
Κη. οὐκ ἔνδον, ἔνδον, ἐστὶν, εἰ γνώμην ἔχεις.
Δι. πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον;
Κη. ὀρθῶς, ὦ γέρον.
ὁ νοῦς μὲν, ἔξω ξυλλέγων ἐπύλλια,
οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν.
Δι. ὦ τρισμακάρι' Εὐριπίδη,
ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ἀπεκρίνατο.
ἐκκάλεσον αὐτόν.
Κη. ἀλλ' ἀδύνατον.
Δι. ἀλλ' ὅμως.
οὐ γὰρ ἂν ἀπέλθοιμ', ἀλλὰ κόψω τὴν θύραν.
Εὐριπίδη, Εὐριπίδιον,
ὑπάκουσον, εἴπερ δήποτ' ἀνθρώπων τινί·
Δικαιόπολις καλεῖ σε Χολλίδης, ἐγώ.
Ευ. ἀλλ' οὐ σχολή.
Δι. ἀλλ' ἐκκυκλήθητ'.
Ευ. ἀλλ' ἀδύνατον.
Δι. ἀλλ' ὅμως.
Ευ. ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή.
Δι. Εὐριπίδη---
Ευ. τί λέλακας;
Δι. ἀναβάδην ποιεῖς,

Digitized by Google

ἐξὸν καταβάδην· οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις,
ἐσθῆτ' ἐλεεινήν; οὐκ ἐτὸς πτωχοὺς ποιεῖς.
ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ', Εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
δεῖ γάρ με λέξαι τῷ Χορῷ ῥῆσιν μακράν·
αὕτη δὲ θάνατον, ἢν κακῶς λέξω, φέρει.
Ευ. τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ
ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;
Δι. οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.
Ευ. τὰ τοῦ τυφλοῦ Φοίνικος;
Δι. οὐ Φοίνικος, οὔκ·
ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.
Ευ. ποίας ποθ' ὡνὴρ λακίδας αἰτεῖται πέπλων;
ἀλλ' ἦ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
Δι. οὔκ· ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.
Ευ. ἀλλ' ἦ τὰ δυσπινῆ θέλεις πεπλώματα,
ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί.
Δι. οὐ Βελλεροφόντης· ἀλλὰ κἀκεῖνος μὲν ἦν
χωλὸς, προσαιτῶν, στωμύλος, δεινὸς λέγειν.
Ευ. οἶδ' ἄνδρα, Μυσὸν Τήλεφον.
Δι. ναὶ, Τήλεφον.
τούτου δὸς, ἀντιβολῶ σ', ἐμοὶ τὰ σπάργανα.
Ευ. ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα.
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
μεταξὺ τῶν Ἰνοῦς.
Κη. ἰδοὺ ταυτὶ λαβέ.
Δι. ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ,

Digitized by Google

ii? non temere est, quod claudos fingis. Quid vero? nos ex tragœdia habes, vestem miserabilem. Non temere quod mendicos fingis. Sed per ego te genua obsecro, mi ipide, da mihi panniculum aliquem veteris fabulæ; nam oportet recitare Choro longam orationem, quæ quidem mor- mihi adfert, si dixero male.

iUR. Nam quos tibi dem pannos? num illos, in quibus ieus iste certavit, infelix senex?

)IC. Non Œnei erant, sed adhuc miserioris.

ÈUR. Vin' cœci pannos Phœnicis.

)IC. Non Phœnicis, non inquam. Sed alius quis erat œnice miserior.

EUR. Quasnam homo iste tandem laceras petit vestes? num s mendici Philoctetæ dicis?

)IC. Non: sed multo magis mendicioris isto.

EUR. Numquid sordidum vis amictum, quem habuit clau- i Bellerophontes ille?

)IC. Non Bellerophontes: sed et ille quidem erat claudus ndicus, garrulus, disertus.

EUR. Novi hominem: Telephum Mysum dicis.

)IC. Telephum inquam: hujus da mihi, obsecro, vela- ia.

EUR. Tu, puer, da ei laceras vestes Telephi: jacent autem ra Thyesteas, mediæ inter Inus pannos.

ÆPH. En accipe.

hIC. O Jupiter, qui omnia perspicis et specularis, adnue ut

Digitized by Google

miserrimum exorner in modum. Euripide, quandoquidem ista indulsisti mihi, da mihi et alia, quæ ad pannos hosce pertinent, Mysium capiti pileolum. Quippe oportet mendicum me adsimulare hodie, esse quidem, qui sum, sed eum non videri; spectatores quidem scire me, qui siem, chorum autem stolidum adstare, ut eum verbulis ludificer.

Eur. Dabo: nam prudenti animo subtilia machinaris.

Dic. Dii tibi bene faciant; Telepho autem, ut ego cupio. Euge! ut jam plenus vocularum fio! sed opus est mihi etiam baculo, qualem mendici gerunt.

Eur. Cape hunc, et abscede a lapideis postibus.

Dic. Vides, anime mi, ut repellar ab ædibus, licet adhuc mihi multa supellectile sit opus: nunc igitur fac instes obnixe petendo, mendicando, et flagitando. Euripide, da mihi sportellam lucernam perustam.

Eur. Quid tibi, ó miser, usus est opere illo plectili?

Dic. Usus quidem nullus: id tamen adsumere volo.

Eur. Molestum esse te mihi scias, et ab ædibus discede.

Dic. Eheu! Dii te perinde, ut matrem tuam olim, felicitent!

Eur. Facesse hinc jam.

Dic. Nondum, obsecro: sed unum modo da mihi caliculum, præfractum cui labrum sit.

Eur. Accipe ista et aufer. Scias vero te molestum esse ædibus.

Digitized by Google

ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδὶ,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.
ΔΕΙ ΓΑΡ ΜΕ ΔΟΞΑΙ ΠΤΩΧΟΝ ΕΙΝΑΙ ΤΗΜΕΡΟΝ,
ΕΙΝΑΙ ΜΕΝ ΟΣΠΕΡ ΕΙΜΙ, ΦΑΙΝΕΣΘΑΙ ΔΕ ΜΗ.
τοὺς μὲν θεατὰς εἰδέναι μ', ὃς εἴμ' ἐγώ·
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.

Ευ. δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.

Δι. ΕΥ ΣΟΙ ΓΕΝΟΙΤΟ, ΤΗΛΕΦῼ Δ' ἉΓΩ ΝΟΩ.
εὖ γ', οἷον ἤδη ῥηματίων ἐμπίμπλαμαι.
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.

Ευ. τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.

Δι. ὦ θύμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
γλίσχρος, προσαιτῶν, λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.

Ευ. τί δ', ὦ τάλας γε, τοῦδ' ἔχεις πλέκους χρέος;

Δι. χρέος μὲν οὐδέν· βούλομαι δ' ὅμως λαβεῖν.

Ευ. λυπηρὸς ἴσθ' ὤν, κἀποχώρησον δόμων.

Δι. φεῦ·
εὐδαιμονοίης, ὥσπερ ἡ μήτηρ ποτέ.

Ευ. ἄπελθε νῦν μοι.

Δι. μή, ἀλλά μοι δὸς ἓν μόνον
κοτυλίσκιον, τὸ χεῖλος ἀποκεκρουσμένον.

Ευ. φέρου λαβὼν ταῦτ'· ἴσθ' ὀχληρὸς ὢν δόμοις.

Digitized by Google

Δι. οὔπω, μὰ Δί', οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ', ὦ γλυκύτατ' Εὐριπίδη, τουτὶ μόνον
δός μοι χυτρίδιον, σφογγίῳ βεβυσμένον.
Ευ. ἄνθρωπ', ἀφαιρήσει με τὴν τραγῳδίαν.
ἄπελθε ταυτηνὶ λαβών.
Δι. ἀπέρχομαι.
καί τοι τί δράσω; δεῖ γὰρ ἑνὸς, οὗ μὴ τυχὼν,
ἀπόλωλ'. ἄκουσον, ὦ γλυκύτατ' Εὐριπίδη·
τουτὶ λαβὼν ἄπειμι, κοὐ πρόσειμ' ἔτι.
ἐς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.
Ευ. ἀπολεῖς μ'. ἰδού σοι. φροῦδά μοι τὰ δράματα.
Δι. ἀλλ' οὐκέτ', ἀλλ' ἄπειμι. καὶ γὰρ εἰμ' ἄγαν
ὀχληρὸς, οὐ δοκῶν με κοιράνους στυγεῖν.
οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ἐπελαθόμην,
ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.
Εὐριπίδιον γλυκύτατον, ὦ φιλτάτιον,
κάκιστ' ἀπολοίμην, εἴ τι σ' αἰτήσαιμ' ἔτι,
πλὴν ἓν μόνον, τουτὶ μόνον, τουτὶ μόνον.
σκάνδικά μοι δὸς, μητρόθεν δεδεγμένος.
Ευ. ὡνὴρ ὑβρίζει· κλεῖε πακτὰ δωμάτων.
Δι. ὦ θύμ', ἄνευ σκάνδικος ἐμπορευτέα.
ἆρ' οἶσθ' ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,
μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
πρόβαινε νῦν, ὦ θυμέ· γραμμὴ δ' αὑτηί.
ἕστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην;
ἐπῄνεσ'· ἄγε νῦν, ὦ τάλαινα καρδία,
ἄπελθ' ἐκεῖσε, κᾆτα τὴν κεφαλὴν ἐκεῖ
παράσχες, εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ.

Digitized by Google

Dic. Nondum scis hercle, quantis me afflictas malis. At, ô suavissime Euripide, hoc tantum da mihi, ollulam spongia obturatam.

Eur. Tu homo, adimes mihi omnem tragœdiam; cape hanc et abi.

Dic. Abeo. Sed quid agam? Etenim unum est adhuc, quo indigeo, quod nisi nactus fuero, perii. Audi, ô dulcissime Euripide: istæc si accipiam, abibo, et non accedam amplius: in sportellam da mihi tenuia olerum folia.

Eur. Perdes me: en tibi. In nihilum redactæ sunt fabulæ meæ.

Dic. Sed nihil àmplius petam; verum abibo: etenim molestus sum nimis, non reputans odiosum me fieri regibus. Hei mihi misero! ut perii! oblitus id sum, in quo res omnes meæ sitæ sunt. Euripidisce dulcissime, ô carissime, pessimis exemplis peream, si quid a te petiero amplius, præter unicum, hoc solum, hoc solum. Scandicem da mihi a matre acceptam tua.

Eur. Homo contumeliam dicit. Ædium compinge fores.

Dic. O anime, sine scandice erit eundum. Nam scis quantum certamen mox certaturus sis, dum sustinebis pro Lacedæmoniis dicere? procede nunc, anime mi: isti sunt carceres. Restas? non ibis, licet Euripidem imbiberis? laudo te: age nunc, ærumnosum cor meum, illuc abi: deinde caput illic præbe, et dic quæcunque tibi videbuntur, aude, i, procede, age, cor meum.

Digitized by Google

Chor. Quid facies? quid dices? Scito jam impudentem te esse et ferreum hominem, qui civitati præbens cervices solus omnibus vis contradicere.

Sem. Homo iste intrepidus rem aggreditur. Eia age, quandoquidem ipsemet cupis verba facere.

Dic. Ne mihi succenseatis, spectatores, si mendicus apud Athenienses dicturus sum de republica in comœdia: nam et comœdia novit quod justum est. Ego autem dicam acerba quidem, sed justa. Non enim nunc me calumniabitur Cleo, quod peregrinis præsentibus civitati convicia dicam. Quippe soli sumus, ludique fiunt in Lenæo: et nondum peregrini adsunt; nec enim tributa veniunt, neque ex urbibus socii: sed soli sumus, nunc et perpurgati, omnique carentes gluma: nam civium glumam advenas vocare soleo.

Equidem Lacedæmonios impense odi: atque utinam ipse Neptunus, qui in Tænaro colitur, terræ motu excitato, omnibus subvertat domos: nam et mihi sunt ab illis vites excisæ. Verumenimvero (dicam enim libere, quoniam amici sunt, qui orationi huic intersunt) cur istorum causam in Lacedæmonios conferimus? Nostrum enim quidam, ô viri, non civitatem

Digitized by Google

τόλμησον, ἴθι, χώρησον, αγ', ἐμὴ καρδία.
Χο. τί δράσεις; τί φήσεις;
ἴσθι νῦν ἀναίσχυντος
ὢν, σιδηροῦς τ' ἀνήρ·
ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα,
ἅπασι μέλλεις εἷς λέγειν τἀναντία.
Ημ. ἀνὴρ οὐ τρεῖ τὸ πρᾶγμα.
εἶα νῦν, ἐπειδήπερ
αὐτὸς αἱρεῖ λέγειν.
Δι. Μή μοι φθονήσετ', ἄνδρες οἱ θεώμενοι,
εἰ πτωχὸς ὢν, ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν.
τὸ γὰρ δίκαιον οἶδε χ' ἡ τρυγῳδία.
ἐγὼ δὲ λέξω δεινὰ μὲν, δίκαια δέ.
οὐ γάρ με καὶ νῦν διαβαλεῖ Κλέων, ὅτι
ξένων παρόντων τὴν πόλιν κακῶς λέγω.
αὐτοὶ γάρ ἐσμεν, οὐπὶ Ληναίῳ τ' ἀγών.
κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
ἥκουσιν, οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι·
ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι·
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
Ἔγωγε μισῶ μὲν Λακεδαιμονίους σφόδρα·
καὐτὸς ὁ Ποσειδῶν, οὐπὶ Ταινάρῳ θεὸς,
σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας·
κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.
ἀτὰρ, φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,
τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;
ἡμῶν γὰρ, ἄνδρες, (οὐχὶ τὴν πόλιν λέγω·

Digitized by Google

μέμνησθε τοῦθ', ὅτι οὐχὶ τὴν πόλιν λέγω.)
ἀλλ' ἀνδράρια μοχθηρὰ, παρακεκομμένα,
ἄτιμα, καὶ παράσημα, καὶ παράξενα,
ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια·
κεἴ που σίκυον ἴδοιεν, ἢ λαγώδιον,
ἢ χοιρίδιον, ἢ σκόροδον, ἢ χόνδρους ἅλας,
ταῦτ' ἦν Μεγαρικὰ, κἀπέπρατ' αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ σμικρὰ, κἀπιχώρια.
πόρνην δὲ Σιμαίθαν ἰόντες Μέγαράδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι·
κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο·
κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατεῤῥάγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
ἐντεῦθεν ὀργῇ Περικλέης οὐλύμπιος
ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα,
ἐτίθει νόμους, ὥσπερ σκολιὰ γεγραμμένους,
ὡς χρὴ Μεγαρέας μήτε γῇ, μήτ' ἐν ἀγορᾷ,
μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ μένειν.
ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ 'πείνων βάδην,
Λακεδαιμονίων ἐδέοντο, τὸ ψήφισμ' ὅπως
μεταστραφείη, τὸ διὰ τὰς λαικαστρίας·
κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
ἐρεῖ τις; οὐ χρῆν. ἀλλὰ τί χρῆν; εἴπατε.
φέρ', εἰ Λακεδαιμονίων τις, ἐκπλεύσας σκάφει,
ἀπέδοτο φήνας κυνίδιον Σεριφίων,
ἐκάθησθ' ἂν ἐν δόμοισιν; ἢ πολλοῦ γε δεῖ·

Digitized by Google

universam dico; memineritis istud, quod non civitatem dico; sed homunciones pessimi et pravæ notæ, infames, adulterini, semicives calumniis vexarunt Megarenses: et si quis melopeponem forte videret, aut lepusculum, aut porcellum, aut allium, aut micam salis, *Megarica hæc sunt*, aiebant, et correpta vendebantur eodem die. Atque hæc quidem levia et vernacula. Sed vero Simætham meretricem profecti Megara adolescentes quidam clam rapiunt ebrii: post illa Megarenses dolore exacerbati duas contra surripiunt meretrices familiares Aspasiæ: et inde occepit bellum erumpere Græcis universis, ex tribus inquam scortis. Hinc Pericles ille Olympius præ iracundia fulminabat, tonabat, conturbabat Græciam, leges ferebat scoliorum ad exemplum scriptas, ut Megarensibus nec in Attica regione, nec in foro, nec in insulis, nec in continenti liceret manere. Tum vero Megarenses, quum jam esurirent sensim, Lacedæmonios orarunt, ut eorum ope decretum immutaretur illud propter scorta factum: at noluimus nos, Illis sæpe deprecantibus. Hinc jam strepitus armorum exoriebatur. *Dicet aliquis: Non oportuit. Verum, quid oportuit, dicite.* Si quis Lacedæmoniorum profectus navi, per calumniam Seriphiis ademtum vendidisset catellum, sedissetisne domi, neglectis Seriphiis? multum certe abest: immo quam citissime de-

Digitized by Google

duxissetis naves trecentas, fuissetque urbs plena tumultu militum, clamoribus de triremium eligendis præfectis, strepitu stipendia accipientium, Palladia deaurantium, trudentium se confertim in porticum, ubi admetiuntur frumenta: plena utribus, scalmorum loris, cados ementibus, alliis, olivis, cepis in reticulis, corollis, sardinis, tibicinis, suggillis: navale vero annon plenum fuisset lignis ad fabricandos remos aptis, clavis sonantibus, coriis foramina, per quæ remi exseruntur, munientibus, tibiis, celeusma canentibus, incitamentis et sibilis? scio utique hæc vos facturos fuisse: *Telephum autem non idem putamus facere? vobis itaque mens non inest.*

Sem. Siccine vero, ô perdite, et impurissime? hæc tu, qui mendicus es, audes in nos dicere, et exprobras, si quis inter nos fuit vitiligator?

Sem. Ita me Neptunus amet, quæcunque dicit justa sunt et vera, nihilque mentitur.

Sem. Ergone, si justa erant, hunc ea dicere oportebat? sed cum magno malo suo hæc ausus erit dicere.

Sem. Eho tu, quo curris? non manebis? nam si percutis hunc virum, ipse mox sublimis rapiere.

Sem. Io Lamache, io fulgur emittens oculis, fer opem, ades, ô terrificas cristas celeri quatiens motu, io Lamache, ô amice, ô tribulis: tum si quis est manipuli ductor, aut dux exercitus, sive oppugnator mœnium, propere succurrat aliquis; nam medius teneor.

Digitized by Google

καὶ κάρτα μέν τ' ἂν εὐθέως καθείλκετε
τριακοσίας ναῦς· ἦν δ' ἂν ἡ πόλις πλέα
θορύβου στρατιωτῶν, περὶ τριηράρχου βοῆς,
μισθοῦ διδομένου, Παλλαδίων χρυσουμένων,
στοᾶς στεναχούσης, σιτίων μετρουμένων,
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων,
σκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοις,
στεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων·
τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,
τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,
αὐλῶν, κελευστῶν, νιγλάρων, συριγμάτων.
ταῦτ' οἶδ' ὅτι ἂν ἔδρατε. ΤΟΝ ΔΕ ΤΗΛΕΦΟΝ
ΟΥΚ ΟΙΟΜΕΣΘΑ. ΝΟΥΣ ΑΡ' ΥΜΙΝ ΟΥΚ ΕΝΙ.
Ημ. ἄληθες, ὦ 'πίτριπτε, καὶ μιαρώτατε;
ταυτὶ σὺ τολμᾷς, πτωχὸς ὢν, ἡμᾶς λέγειν;
καὶ συκοφάντης, εἴ τις ἦν, ὠνείδισας;
Ημ. νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ', ἅπερ λέγει,
δίκαια πάντα, κοὐδὲν αὐτῶν ψεύδεται.
Ημ. εἶτ', εἰ δίκαια, τοῦτον εἰπεῖν αὔτ' ἐχρῆν;
ἀλλ' οὐδὲ χαίρων ταῦτα τολμήσει λέγειν.
Ημ. οὗτος σὺ, ποῖ θεῖς, οὐ μενεῖς; ὡς εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.
Ημ. ἰὼ Λάμαχ', ἰὼ βλέπων ἀστραπὰς,
βοήθησον, ὦ γοργολόφα, φανεὶς,
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα,
εἴτε τις ἔστι ταξίαρχος, ἢ στρατηγὸς,
ἢ τειχομάχος ἀνὴρ, βοηθησάτω
τις ἀνύσας· ἐγὼ γὰρ ἔχομαι μέσος.

Digitized by Google

Λα. πόθεν βοῆς ἤκουσα πολεμιστηρίας;
ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;
τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;
Ημ. ὦ Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων—
Ημ. ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἄνθρωπος πάλαι
ἅπασαν ἡμῶν τὴν πόλιν κακοῤῥοθεῖ;
Δι. ὦ Λάμαχ' ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
εἰ πτωχὸς ὢν εἶπόν τι, κᾀστωμυλάμην.
Λα. τί δ' εἶπες ἡμᾶς; οὐκ ἐρεῖς;
Δι. οὐκ οἶδά πω·
ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων ἰλιγγιῶ.
ἀλλ' ἀντιβολῶ σ', ἀπένεγκ' ἐμοῦ τὴν Μορμόνα.
Λα. ἰδού.
Δι. παράθες νῦν ὑπτίαν αὐτὴν ἐμοί.
Λα. κεῖται.
Δι. φέρε νῦν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.
Λα. τουτὶ πτίλον σοι.
Δι. τῆς κεφαλῆς νῦν μου λαβοῦ,
ἵν' ἐξεμέσω· βδελύττομαι γὰρ τοὺς λόφους.
Λα. οὗτος, τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν;
Δι. πτίλον γάρ ἐστιν, εἰπέ μοι, τίνος ποτέ;
Λα. ὄρνιθός ἐστιν.
Δι. ἆρα κομπολακύθου;
Λα. οἴμ', ὡς τεθνήξει.
Δι. μηδαμῶς, ὦ Λάμαχε.
οὐ γὰρ κατ' ἰσχύν ἐστιν· εἰ δ' ἰσχυρὸς εἶ,
τί μ' οὐκ ἀπεψώλησας; εὔοπλος γὰρ εἶ.
Λα. ταυτὶ λέγεις σὺ τὸν στρατηγὸν, πτωχὸς ὤν;

Digitized by Google

Lam. Unde clamorem audivi bellicum? ubi auxilio, ubi tumultu facto est opus? quis Gorgonem e theca excitavit meam?

Sem. O Lamache heros, cristarum et cohortium—

Sem. O Lamache, nonne enim iste homo dudum universæ urbi nostræ maledicit?

Dic. O Lamache heros, ignosce, obsecro, si mendicus quum sim, aliquid dixi, et nugas blateravi.

Lam. Quid ergo in nos dixti? nonne eloquere?

Dic. Haud memini amplius: nam præ metu armorum vertigine laboro. Sed obsecro te, aufer a me terriculamentum clypei tui.

Lam. En.

Dic. Nunc eum huc colloca supinum.

Lam. Jacet.

Dic. Cedo mihi nunc pennam de galea.

Lam. Eccam tibi pennam.

Dic. Tene nunc meum caput, ut vomam. Nauseam enim mihi movent cristæ.

Lam. Heus tu, quid cogitas? vin' tibi hac penna vomitum ciere?

Dic. Quippini? dic mihi ergo cujusnam sit ista penna.

Lam. Alitis est.

Dic. Numquid gloriosi cujusdam?

Lam. Heu! quam mox peribis!

Dic. Nequaquam, ô Lamache. Non enim vi res hæc agitur. Si autem viribus polles, quin me verpum facis? nam bene vasatus es.

Lam. Hæccine tu, mendice, in ducem exercitus dicis?

Digitized by Google

Dic. Egone mendicus?

Lam. Quis ergo es?

Dic. Quisnam? civis bonus, non ambitiosus; verum, ex quo bellum durat, militans: tu vero, ex quo bellum durat, mercenarius dux es.

Lam. Suffragiis enim me crearunt—

Dic. Cuculi tres scilicet. Hæc itaque ego aversatus, inducias pepigi, quod viderem canos quidem viros in acie; juvenes autem, tui similes, fugitantes laborem, quosdam in Thracia, qui tres drachmas merebant, Tisamenos, Phænippos, et Hipparchidas nequissimos: alios apud Charetem: alios in Chaonia, Geretes, Theodoros, gloriososque Diomenses: alios in Camarina, in Gela, et in Catagela.

Lam. Nam suffragiis erant creati duces.

Dic. Quæ autem causa est, cur vos quidem mercedem accipiatis undecunque, istorum autem nemo? Quæso, Marilade, an tu, qui jam canus es, legationem unquam obiisti, nec ne? renuit: et tamen iste modestus est et laboris amans. Quid vero Dracyllus, et Euphorides, aut Prinides? novitne aliquis vestrûm Ecbatana, aut Chaonas? negant: sed novit ille de Cœsyræ prosapia et Lamachus, quibus nuper, propter stipem non collatam et æs alienum, amici omnes, ut solent qui vesperi aquam per fenestras effundunt qua pedes abluere, dicebant *Abscede*.

Lam. O plebis licentia! hæceine ergo sunt toleranda?

Digitized by Google

Δι. ἐγὼ γάρ εἰμι πτωχός;
Λα. ἀλλὰ τίς γὰρ εἶ;
Δι. ὅστις; πολίτης χρηστὸς, οὐ σπουδαρχίδης,
ἀλλ᾽ ἐξ ὅτου περ ὁ πόλεμος, στρατωνίδης·
σὺ δ᾽, ἐξ ὅτου περ ὁ πόλεμος, μισθαρχίδης.
Λα. ἐχειροτόνησαν γάρ με---
Δι. κόκκυγές γε τρεῖς.
ταῦτ᾽ οὖν ἐγὼ βδελυττόμενος ἐσπεισάμην,
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσι,
νεανίας δ᾽, οἵους σὺ, διαδεδρακότας,
τοὺς μὲν ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχμὰς,
Τισαμενοφαινίππους, Πανουργιππαρχίδας·
ἑτέρους δὲ παρὰ Χάρητι· τοὺς δ᾽ ἐν Χαόσι
Γερητοθεοδώρους, Διομειαλαζόνας,
τοὺς δ᾽ ἐν Καμαρίνῃ, κἀν Γέλᾳ, κἀν Καταγέλᾳ.
Λα. ἐχειροτονήθησαν γάρ.
Δι. αἴτιον δὲ τί,
ὑμᾶς μὲν ἤδη μισθοφορεῖν ἁμηγέπη,
τωνδὶ δὲ μηδέν᾽; ἐτεὸν, ὦ Μαριλάδη,
ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν ἔν, ἢ οὔκ;
ἀνένευσε· καί τοι γ᾽ ἔστι σώφρων κἀργάτης.
τί δαὶ Δράκυλλος, κ᾽ Εὐφορίδης, ἢ Πρινίδης;
οἶδέν τις ὑμῶν τἀκβάταν᾽, ἢ τοὺς Χαόνας;
οὔ φασιν. ἀλλ᾽ ὁ Κοισύρας, καὶ Λάμαχος,
οἷς ὑπὲρ ἐράνου τε καὶ χρεῶν πρώην ποτὲ,
ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας,
ἅπαντες ΕΞΙΣΤΩ παρῄνουν οἱ φίλοι.
Λα. ὦ δημοκρατία, ταῦτα δῆτ᾽ ἀνασχετά;

Digitized by Google

Δι. οὐ δῆτ', ἐὰν μὴ μισθοφορῇ γε Λάμαχος.
Λα. ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι Πελοποννησίοις
ἀεὶ πολεμήσω, καὶ ταράξω πανταχῇ,
καὶ ναυσὶ, καὶ πεζοῖσι, κατὰ τὸ καρτερόν.
Δι. ἐγὼ δὲ κηρύττω γε Πελοποννησίοις
ἅπασι, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις,
πωλεῖν, ἀγοράζειν πρὸς ἐμέ· Λαμάχῳ δὲ μή.

Χορός.

ὡνὴρ νικᾷ τοῖσι λόγοισιν, καὶ τὸν δῆμον μεταπείθει
περὶ τῶν σπονδῶν. ἀλλ' ἀποδύντες τοὺς ἀναπαίστους ἐπίωμεν.
Ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων, ὡς δεξιός ἐστι·
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυβούλοις,
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν, καὶ τὸν δῆμον καθυβρίζει,
ἀποκρίνεσθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν ὁ ποιητὴς,
παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας.
πρότερον δ' ἀπὸ τῶν πόλεων ὑμᾶς οἱ πρέσβεις ἐξαπατῶντες,
πρῶτον μὲν ΙΟΣΤΕΦΑΝΟΥΣ ἐκάλουν· κἀπειδὰν τοῦτό τις
εἴπῃ,
εὐθὺς διὰ τοὺς ΣΤΕΦΑΝΟΥΣ ἐπ' ἄκρων τῶν πυγιδίων
ἐκάθησθε.
εἰ δέ τις, ὑμᾶς ὑποθωπεύσας, ΛΙΠΑΡΑΣ καλέσειεν ΑΘΗ-
ΝΑΣ,
εὕρετο πᾶν ἂν διὰ τὰς ΛΙΠΑΡΑΣ, ἀφύων τιμὴν περιάψας.
ταῦτα ποιήσας, πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται,
καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν δείξας, ὡς δημοκρατοῦνται.

Digitized by Google

DIC. Non sane, si Lamachus stipendia non mereat.

LAM. At ego adversum Peloponnesios omnes bellum semper geram, eosque quavis ratione lacessitos, navibus, terrestribusque copiis, commotos reddam, quantum potero.

DIC. Ego vero prædico Lacedæmoniis omnibus et Magarensibus et Bœotiis, ut emant vendantque in foro meo: sed Lamacho non.

CHOR. Homo iste vincit argumentis, et populum inducit, ut mutata sententia probet inducias: sed accingamus nos ad anapæstos recitandos.

Ex quo poëta noster comicis animum adpulit choris, nondum prodiit spectatoribus dicturus scitum lepidumque se esse. Quoniam autem falso insimulatur ab inimicis apud Athenienses præcipites consili, quasi civitatem ludibrio sibi habeat, populumque proscindat conviciis, opus est ut respondeat illis apud Athenienses mutare solitos consilia. Ergo autumat poëta multorum se vobis bonorum auctorem esse, cujus opera factum, ut non amplius tam facile patiamini vobis a peregrinis verba dari, nec adulatoribus delectemini, nec remisse rempublicam administretis. Antehac autem legati ab urbibus missi, si vellent vos circumvenire, primo *violis coronatos* vos appellabant: quod simulac dixerat quispiam, statim propter *coronas* in primoribus natibus sedebatis. Tum si quis vobis subpalpans diceret, *O nitidæ et pingues Athenæ*, is quam vellet rem conficiebat, ob pinguedinem, qua vos, tanquam apuas, perunxerat. Hæc quia fecit poëta, multorum bonorum causa vobis exstitit: tum etiam ostendit sociarum civitatum incolas, ut populari regantur imperio. Itaque jam ex urbibus tributum vobis adferentes venient, videre cupientes poëtam hunc præstantissimum, qui periculum non refugit quominus diceret Atheniensibus quæ justa sunt. Tam late autem ejus audaciæ fama pervagata est, ut et Magnus Rex, legatos explorans Lacedæmoniorum, sciscitatus

Digitized by Google

fuerit ex ipsis primum, utri classes prævalerent: deinde, utris poëta iste multa convicia dicat: hos enim homines inquiebat meliores futuros, et bello longe superaturos, qui ejus uterentur consiliis. Propterea Lacedæmonii vos ad pacem invitant, et Æginam sibi reddi flagitant, non quod insulam illam tanti faciant, sed ut poëtam hunc e prædiis suis ejiciant. Sed vos neutiquam timeatis, ne quando comœdias docens traducat, et in ludibrium vertat justa consilia: autumat vero se multa bona vos docturum, ut beati fiatis, non suppalpando, non mercedem ostentando fautoribus, non fraudibus aut versutiis fallendo, nec laudibus demulcendo; sed ea ipsa quæ optima erunt docendo. Proinde Cleo machinetur, et quidlibet adversum me struat: nam a meis partibus honestum et justum stabit, nec unquam deprehendar erga rempublicam talis, qualis ille est, timidus et morbosissimus.

Sem. Huc ades, Musa, quæ flagrantem ignis habes vim, acuta Acharnica, qualiter e prunis ilignis favilla subsilit, quando

Digitized by Google

·οιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες
ἥξουσιν, ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον,
στις παρεκινδύνευσε λέγειν ἐν Ἀθηναίοις τὰ δίκαια.
ὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόῤῥω κλέος ἥκει,
τε καὶ Βασιλεὺς, Λακεδαιμονίων τὴν πρεσβείαν βασανίζων,
ρώτησεν πρῶτα μὲν αὐτὲς, πότεροι ταῖς ναυσὶ κρατεῦσιν·
ἶτα δὲ τοῦτον τὸν ποιητὴν, ποτέρους εἴποι κακὰ πολλά.
ούτους γὰρ ἔφη τὲς ἀνθρώπες πολὺ βελτίες γεγενῆσθαι,
καὶ τῷ πολέμῳ πολὺ νικήσειν, τοῦτον ξύμβουλον ἔχοντας.
ιὰ τοῦθ' ὑμᾶς Λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται,
καὶ τὴν Αἴγιναν ἀπαιτοῦσιν· καὶ τῆς νήσου μὲν ἐκείνης
ὐ φροντίζουσ', ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται.
ἀλλ' ὑμεῖς μή ποτε δείσηθ', ὡς κωμῳδήσει τὰ δίκαια·
φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ', ὡς εὐδαίμονας εἶναι,
ὐ θωπεύων, οὐθ' ὑποτείνων μισθοὺς, οὔτ' ἐξαπατύλλων,
οὔτε πανεργῶν, οὔτε κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων.

πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω,
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω.
τὸ γὰρ εὖ μετ' ἐμοῦ, καὶ τὸ δίκαιον
ξύμμαχον ἔσται, κοὐ μήποθ' ἁλῶ
περὶ τὴν πόλιν ὤν, ὥσπερ ἐκεῖνος,
δειλὸς καὶ λακαταπύγων.

Ημ. Δεῦρο Μοῦσ' ἐλθὲ, φλεγυρὸν πυρὸς ἔ-
χουσα μένος, ἔντονος Ἀχαρνική.
οἷον ἐξ ἀνθράκων πρινίνων
φέψαλος ἀνήλατ', ἐρε-
θιζόμενος οὐρίᾳ ῥιπίδι,
ἡνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι·

Digitized by Google

οἱ δὲ Θασίαν ἀνακυκῶσι λιπαράμπυκα,
οἱ δὲ μάττωσιν· οὔ-
τω σοβαρὸν ἐλθὲ μέλος
εὔτονον, ἀγροικότερον,
ὡς ἐμὲ λαβοῦσα τὸν δημότην.

Χο. Οἱ γέροντες οἱ παλαιοὶ, μεμφόμεσθα τῇ πόλει.
οὐ γὰρ ἀξίως ἐκείνων, ὧν ἐναυμαχήσαμεν,
γηροβοσκούμεσθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν,
οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς,
ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων,
οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς, καὶ παρεξηυλημένους,
οἷς Ποσειδῶν Ἀσφάλειός ἐστιν ἡ βακτηρία·
τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέσταμεν,
οὐχ ὁρῶντες οὐδὲν, εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.
ὁ δὲ νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν,
ἐς τάχος παίει, ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι·
κᾆτ' ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν,
ἄνδρα Τιθωνὸν σπαράττων, καὶ ταράττων, καὶ κυκῶν.
ὁ δ' ὑπὸ γήρως μασταρύζει, κᾆτ' ὄφλων ἀπέρχεται·
εἶτα λύζει, καὶ δακρύει, καὶ λέγει πρὸς τοὺς φίλους·
Οὗ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὄφλων ἀπέρχομαι.

Ημ. Ταῦτα πῶς εἰκότα γέροντ' ἀπολέ-
σαι, πολιὸν ἄνδρα, περὶ κλεψύδραν,
πολλὰ δὴ ξυμπονήσαντα, καὶ
θερμὸν ἀπομορξάμενον
ἀνδρικὸν ἱδρῶτα δὴ καὶ πολὺν,
ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν, ἐδιώκομεν·

Digitized by Google

torrendi impositi sunt pisciculi, dum alii Thasiam miscent recentem muriam, alii pinsunt farinam ; sic veni rapidum carmen, intensum, agreste, tecum ferens, ad me popularem tuum.

Chor. Nos senes vetusti civitatem incusamus : non enim pro dignitate rerum a nobis in præliis navalibus gestarum alimur in senectute ; sed acerba perpetimur a vobis : qui, quando nos senes litibus implicaveritis, ab oratoribus adolescentibus nos sinitis haberi ludibrio, quum nihil simus amplius, sed hebetes et detriti, quibus pro Neptuno Tutore est baculus. Stamus autem murmurantes ad lapideum tribunal, nihil videntes præter nebulam Justitiæ circumfusam. At juvenis, qui secum meditatus est causas orare, cito reum ferit rotundis, quæ copulat, verbis ; deinde protractum interrogat, tendiculas verborum statuens, Tithonum lacerans, turbans, vexans : at iste præ senectute labia contrahit ; deinde multam debens abit : postea singultit et lacrimat, amicisque dicit : *Quo mihi sandapila erat emunda, hoc multatus abeo.*

Sem. Hoccine modo æquum est senem perdere, canum hominem, apud Clepsydram, qui multos labores cum sodalibus pertulit, et calidum abstersit virilem sudorem, eumque uberem, qui fortem se præstitit Marathone pro republica ? Itane vero, quum vigebamus, hostem Marathone persequendo premimus,

Digitized by Google

et nunc ab hominibus improbis premimur criminibus, et condemnamur demum? Quis Marpsias contra hæc aliquid dicet?

Chor. Quomodo enim æquum est, hominem senio incurvum, qualis est Thucydides, perire, tanquam Scythicæ implicatum solitudini, negotium habentem cum hoc Cephisodemo, loquaci causidico? Quippe miseratus sum, et lacrimas mihi detersi, quum viderem sagittario vexari senem virum, Thucydidem illum, qui, ita me Ceres amet, quum integer esset ævi, ne Cererem quidem ipsam facile passus fuisset sibi molestam esse: verum primum quidem luctando dejecisset Euathlos decem, clamando autem et vociferando superasset sagittariorum tria millia, tum sagittis confixisset sagittarii ipsius paternos cognatos. Sed quandoquidem nos senes somnum capere non sinitis, decreto publico sciscite causarum cognitiones seorsum fieri, ut adversum senem senex oret edentulusque causidicus, junioribus autem obponatur cinædus et loquax, et Cliniæ filius. Et judicio quidem malos persequi oportet deinceps: at si quis agatur reus, multam irroget senex seni, juvenis autem juveni.

DICÆOPOLIS, MEGARENSIS, PUELLÆ, SYCOPHANTA, CHORUS.

Dic. Isti sunt limites fori mei. Hic mercari Peloponnesiis licet et Megarensibus, et Bœotiis, ea lege ut mihi vendant, Lamacho autem non. Agoranomos autem, qui foro præsint, constituo tres sorte lectos, quibus lora sunto Lepreatica. Huc

Digitized by Google

νῦν δ' ὑπ' ἀνδρῶν πονη-
ρῶν σφόδρα διωκόμεθα,
κᾆτα προσαλισκόμεθα.
πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;

Χο. Τῷ γὰρ εἰκὸς ἄνδρα κυφὸν, ἡλίκον Θουκυδίδην,
ἐξολέσθαι, ξυμπλακέντα τῇ Σκυθῶν ἐρημίᾳ,
τῷδε τῷ Κηφισοδήμῳ, τῷ λάλῳ ξυνηγόρῳ;
ὥστ' ἐγὼ μὲν ἠλέησα, κἀπομορξάμην, ἰδὼν
ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον,
ὃς, μὰ τὴν Δήμητρ', ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
οὐδ' ἂν αὐτὴν τὴν 'Αχαιὰν ῥᾳδίως ἠνέσχετο·
ἀλλὰ κατεπάλαισεν ἂν μὲν πρῶτον Εὐάθλους δέκα,
κατεβόησε δ' ἂν κεκραγὼς τοξότας τρισχιλίους,
περιετόξευσεν δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
ψηφίσασθε χωρὶς εἶναι τὰς γραφὰς, ὅπως ἂν ᾖ
τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος·
τοῖς νέοισι δ' εὐρύπρωκτος, καὶ λάλος, χῷ Κλεινίου.
κἀξελαύνειν χρὴ τολοιπόν· κἢν φύγῃ τις, ζημιοῦν
τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΜΕΓΑΡΕΥΣ, ΚΟΡΑΙ, ΣΥΚΟΦΑΝΤΗΣ, ΧΟΡΟΣ.

Δι. ΟΡΟΙ μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς.
ἐνταῦθ' ἀγοράζειν τοῖσι Πελοποννησίοις
ἔξεστι, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις,
ἐφ' ᾧ τε πωλεῖν πρὸς ἐμὲ, Λαμάχῳ δὲ μή.
ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι

Digitized by Google

τρεῖς τοὺς λαχόντας, τοὺς δ' ἱμᾶντας ἐκ λεπρῶν.
ἐνταῦθα μήτε συκοφάντης εἰσίτω,
μήτ' ἄλλος ὅστις Φασιανὸς ἔστ' ἀνήρ.
ἐγὼ δὲ τὴν στήλην, καθ' ἣν ἐσπεισάμην,
μέτειμ', ἵνα στήσω φανερὰν ἐν τῇ 'γορᾷ.
Με. ἀγορὰ 'ν 'Αθάναις χαῖρε, Μεγαρεῦσιν φίλα·
ἐπόθουν τυ, ναὶ τὸν Φίλιον, ἅπερ ματέρα.
ἀλλ', ὦ πόνηρα κόριά γ' ἀθλίου πατρὸς,
ἀμβᾶτε ποττὰν μάδδαν, αἴ χ' εὕροιτέ πα.
ἀκούετον δὴ, ποτέχετ' ἐμὶν τὰν γαστέρα·
πότερα πεπρᾶσθαι χρῄδδετ', ἢ πεινῆν κακῶς.
Κο. πεπρᾶσθαι, πεπρᾶσθαι.
Με. ἐγώνγα καὐτός φαμι. τίς δ' οὕτως ἄνους,
ὃς ὑμέ κα πρίαιτο, φανερὰν ζαμίαν;
ἀλλ' ἔστι γάρ μοι Μεγαρικά τις μαχανά.
χοίρους γὰρ, ὑμὲ σκευάσας, φασῶ φέρειν.
περίθεσθε τάσδε τὰς ὁπλὰς τῶν χοιρίων.
ὅπως δὲ δοξεῖτ' ἦμεν ἐξ ἀγαθᾶς ὑός·
ὡς, ναὶ τὸν 'Ερμᾶν, εἴπερ ἵξετ' οἴκαδις,
τὰ πρᾶτα πειρασεῖσθε τᾶς λιμοῦ κακῶς.
ἀλλ' ἀμφίθεσθε καὶ ταδὶ τὰ ῥυγχία,
κἤπειτεν ἐς τὸν σάκκον ὧδ' ἐσβαίνετε.
ὅπως δὲ γρυλλιξεῖτε, καὶ κοΐξετε,
χ' ἠσεῖτε φωνὰν χοιρίων μυστηρικῶν.
ἐγὼν δὲ καρυξῶ γα Δικαιόπολιν. ὅπα
Δικαιόπολις; ἦ λῇς πρίασθαι χοιρία;
Δι. τί; ἀνὴρ Μεγαρικός;
Με. ἀγοράσοντες ἥκομες.

Digitized by Google

neque sycophanta ingreditor, nec alius quicunque Phasianus est homo. Ego autem columnam inscriptam formula, juxta quam inducias pepigi, arcessam, ut eam collocem conspicuam in foro.

Meg. Salve forum Atticum, gratum Megarensibus! desiderabam te, ut matrem, ita me Jupiter amet præses amicitiæ. Sed ô ærumnosæ puellæ miseri patris, ascendite ad mazam, si modo eam alicubi inveniatis. Audite, quæso, et mihi advertite ventrem: utrumne vendi vultis, an esurire pessime?

Puel. Vendi, vendi.

Meg. Ipse equidem optimum hoc censeo. Verum quis adeo ineptus sit, qui vos emat, damnum manifestarium? sed est mihi Megarica quædam fabrica. Porcellorum ad speciem vos adornabo, et porcellos me ferre dicam. Induite istas porcellorum ungulas, et date operam, ut videamini ex bona scrofa editæ. Nam, ita me Mercurius amet, si domum redieritis, extrema famis et pessima mala experiemini. Age induite et hæc rostra; deinde in saccum sic irrepite: videte autem, ut grunniatis, et *coï* dicatis, et mittatis vocem porcellorum mysticorum. Ego vero vocabo Dicæopolin. Ubi est Dicæopolis? Vin' porcellos emere?

Dic. Quid? homo Megaricus?

Meg. Ad mercatum venimus.

Digitized by Google

DIC. Quomodo vos habetis?

MEG. Esurimus assidue sedentes ad ignem.

DIC. Atqui hercle suave est ad ignem sedere, si adsit tibicen: verum quid aliud agitis nunc?

MEG. Rogas? sane quum inde ad mercaturam proficiscebar, Provisores id dabant operam, ut quam citissime et pessime periremus.

DIC. Mox ergo liberabimini a malis.

MEG. Quippini?

DIC. Quid aliud vero Megaris agitur? quanti venit frumentum?

MEG. Apud nos eodem honore et pretio est, quo Dii.

DIC. An ergo salem affers?

MEG. Annon vos salinas tenetis?

DIC. Ne quidem allia?

MEG. Quæ, malum, allia, quorum vos semper, quum irruptionem in agrum nostrum facitis, tanquam rustici mures, capita paxillo effoditis?

DIC. Quid ergo fers?

MEG. Equidem porcos sacres.

DIC. Pulchre dicis. Ostende.

MEG. Utique pulchri sunt. Sustolle, si lubet: hem, quam pinguis iste et pulcher!

DIC. Quid hoc rei erat?

MEG. Porcus mehercle.

DIC. Quid ais tu? cujas est hic porcus?

MEG. Megaricus. Annon porcus est?

Digitized by Google

Δι. πῶς ἔχετε;

Με. διαπεινᾶμες αἰὲς ποττὸ πῦρ.

Δι. ἀλλ' ἡδύ τοι, νὴ τὸν Δί', ἢν αὐλὸς παρῇ.
τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρῆς νῦν;

Με. οἷα δή;
ὄκα μὲν ἐγώνγα τηνόθεν ἐπορευόμαν,
ἄνδρες Πρόβουλοι τοῦτ' ἔπραττον τῇ πόλει,
ὅπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.

Δι. αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων.

Με. σὰ μάν;

Δι. τί δ' ἄλλο Μεγαροῖ; πῶς ὁ σῖτος ὤνιος;

Με. παρ' ἀμὲ πολυτίματος ᾇπερ τοὶ θεοί.

Δι. ἅλας οὖν φέρεις;

Με. οὐχ ὑμὲς αὐτῶν ἄρχετε;

Δι. οὐδὲ σκόροδα;

Με. ποῖα σκόροδ'; ὑμὲς ὢν ἀεὶ,
ὄκκ' ἐσβάλητε, τὼς ἀρωρ αἶοι μύες,
πάσσακι τὰς ἀγλῖθας ἐξορύσσετε.

Δι. τί δαὶ φέρεις;

Με. χοίρους ἐγώνγα μυστικάς.

Δι. καλῶς λέγεις· ἐπίδειξον.

Με. ἀλλα μὰν καλαί.
ἄντεινον, αἰ λῇς· ὡς παχεῖα καὶ καλά.

Δι. τουτὶ τί ἦν τὸ πρᾶγμα;

Με. χοῖρος, ναὶ Δία.

Δι. τί λέγεις σύ; ποδαπὴ δ' ἐστὶ χοῖρος;

Με. Μεγαρικά.
ἢ οὐ χοῖρος ἔσθ' ἅδ';

Δι. οὐκ ἔμοιγε φαίνεται.

Με. οὐ δεινά; θᾶσθε τοῦδε τὰς ἀπιστίας·
οὐ φατὶ τόνδε χοῖρον ἦμεν. ἀλλὰ μὰν,
αἰ λῇς, περίδου νῦν μοι περὶ θυμιτᾶν ἁλῶν,
αἰ μή 'στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.

Δι. ἀλλ' ἔστιν ἀνθρώπου γε.

Με. ναὶ τὸν Διοκλέα,
ἐμά γα. τὺ δέ νιν ἦμεναι τίνος δοκεῖς;
ἢ λῇς ἀκοῦσαι φθεγγομένας;

Δι. νὴ τοὺς θεοὺς,
ἔγωγε.

Με. φώνει δὴ τὺ ταχέως, χοιρίον.
οὐ χρῆσθα σιγῆν, ὦ κάκιστ' ἀπολουμένα·
πάλιν τύ γ' ἀποισῶ, ναὶ μὰ τὸν Ἑρμᾶν, οἴκαδις.

Κο. κοΐ, κοΐ.

Με. αὕτα 'στὶ χοῖρος;

Δι. νῦν γε χοῖρος φαίνεται.
ἀτὰρ ἐκτραφείς γε, κύσθος ἔσται, πέντ' ἐτῶν.

Με. σάφ' ἴσθι, ποττὰν ματέρ' εἰκασθήσεται.

Δι. ἀλλ' οὐδὲ θύσιμός ἐστιν αὑτηγί.

Με. σά μάν;
πᾶ δ' οὐχὶ θύσιμός ἐστι;

Δι. κέρκον οὐκ ἔχει.

Με. νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἑξεῖ μεγάλαν τε, καὶ παχεῖαν, κἠρυθράν.
ἀλλ' αἰ τράφεν λῇς, ἅδε τοι χοῖρος καλά.

Δι. ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θατέρᾳ.

Με. ὁμοματρία γάρ ἐστι, κὴκ τωυτῶ πατρός.

Digitized by Google

Dic. Mihi quidem non videtur.

Meg. Nonne hoc absurdum est? spectate hominis incredulitatem! negat hunc esse porcum. Atqui, si placet, mecum da pignus in salem cum thymo tritum, nisi sit iste porcus Græcorum more.

Dic. Porcus est quidem, sed hominis.

Meg. Ita, per Dioclem juro, et quidem mei. Tu vero illos cujus esse putas? vin' grunnientes audire?

Dic. Equidem, ita me dii ament.

Meg. Mitte ocius vocem, porcelle. Non usus est tibi silentio, perditissime: Mercurium adjuro, domum reportaberis denuo.

Puel. Coï, coï.

Meg. Estne hic porcus?

Dic. Nunc quidem porcus videtur; sed si probe nutriatur quinque annos, cunnus fiet.

Meg. Certo scias, matri exæquabitur.

Dic. Sed ne quidem sacrificari hic potest.

Meg. Quidum? Qua de causa sacrificari non potest?

Dic. Caudam non habet.

Meg. Juvenculus enim est: sed adultus habebit magnam et crassam et rubram. Sed si alere vis, hic tibi porcus bonus est.

Dic. Quam germanus est hujus cunnus alteri!

Meg. Est enim ex eadem matre et ex eodem patre. Si vero

Digitized by Google

crassior factus fuerit, et pullulantibus obsitus pilis, aptissimus erit porcus, qui Veneri sacrificetur.

DIC. Sed Veneri porcus sacrificari non solet.

MEG. Non porcus Veneri? immo solæ deorum omnium: et fit porcorum istorum caro suavissima, cum figitur veru.

DIC. Jamne vero sine matre comederent?

MEG. Ita sane, per Neptunum juro; quin etiam sine patre.

DIC. Quid autem potissimum comedunt?

MEG. Quidquid dederis. Ipsus ab illis quære.

DIC. Porce, porce.

PUEL. I. Coï, coï.

DIC. Comederesne cicer?

PUEL. I. Coï, coï, coï.

DIC. Quid vero? caricasne?

PUEL. I. Coï, coï.

DIC. Tu vero quid? comederesne eas etiam?

PUEL. II. Coï, coï.

DIC. Quam acute ad caricas clamant! Efferat aliquis huc intus caricas porcellis. Anne etiam comedent? Papæ! quanto vorant cum strepitu, ô venerande Hercules! Cujates sunt isti porcelli? nempe ex *Voracia* videntur esse. Sed fieri non potest, ut omnes caricas comederint.

MEG. Nisi quia unam earum sustuli hancce.

DIC. Edepol lepidæ sunt istæ pecudes. Quanti emerim a te hos porcellos? age.

Digitized by Google

αἰ δ' ἂν παχυνθῇ κἀναχνοανθῇ τᾷ τριχὶ,
κάλλιστός ἐστι χοῖρος Ἀφροδίτᾳ θύειν.

Δι. ἀλλ' οὐχὶ χοῖρος τῇ 'φροδίτῃ θύεται.

Με. οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γα δαιμόνων.
καὶ γίγνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς
ἅδιστον, ἂν τὸν ὀδελὸν ἐμπεπαρμένον.

Δι. ἤδη δ' ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν;

Με. ναὶ τὸν Ποτείδαν, κἂν ἄνευ γα τῶ πατρός.

Δι. τί δ' ἐσθίει μάλιστα;

Με. πάνθ' ἃ κἂν διδῷς.
αὐτὸς δ' ἐρώτη.

Δι. χοῖρε, χοῖρε.

Κο. α'. κοΐ, κοΐ.

Δι. τρώγοις ἂν ἐρεβίνθους;

Κο. α'. κοΐ, κοΐ, κοΐ.

Δι. τί δαί; Φιβάλεως ἰσχάδας;

Κο. α'. κοΐ, κοΐ.

Δι. τί δαὶ σύ; καὶ τρώγοις ἂν αὐτάς;

Κο. β'. κοΐ, κοΐ.

Δι. ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατον.
ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων
τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαὶ,
οἷον ῥοθιάζουσ', ὦ πολυτίμηθ' Ἡράκλεις;
ποδαπὰ τὰ χοιρί'; ὡς Τραγασαῖα φαίνεται.
ἀλλ' οὐχὶ πάσας κατέτραγον τὰς ἰσχάδας.

Με. ἐγὼ γὰρ αὐτᾶν τάνδε μίαν ἀνειλόμαν.

Δι. νὴ τὸν Δί', ἀστείω γε τὼ βοσκήματε.
πόσου πρίωμαί σοι τὰ χοιρίδια; λέγε.

Digitized by Google

Με. τὸ μὲν ἅτερον τούτων, σκορόδων τροπαλλίδος·
τὸ δ' ἅτερον, αἰ λῇς, χοίνικος μόνας ἁλῶν.
Δι. ὠνήσομαί σοι· περίμεν' αὐτοῦ.
Νε. ταῦτα δή.
Ἑρμᾶ 'μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν
οὕτω μ' ἀποδόσθαι, τάν τ' ἐμαυτῶ ματέρα.
Συ. ἄνθρωπε, ποδαπός;
Με. χοιροπώλας Μεγαρικός.
Συ. τὰ χοιρίδια τοίνυν ἐγὼ φανῶ ταδὶ
πολέμια, καὶ σέ.
Με. τοῦτ' ἐκεῖν' ἵκει πάλιν,
ὅθεν περ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
Συ. κλάων μεγαριεῖς. οὐκ ἀφήσεις τὸν σάκον;
Με. Δικαιόπολι, Δικαιόπολι, φαντάζομαι
ὑπό του.
Δι. τίς ὁ φαίνων σ' ἐστίν; ὦ 'γορανόμοι,
τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετε;
τί δὴ παθὼν φαίνεις ἄνευ θρυαλλίδος;
Συ. οὐ γὰρ φανῶ τοὺς πολεμίους;
Δι. κλάων γε σύ,
εἰ μὴ 'τέρωσε συκοφαντήσεις ἰών.
Με. οἷον τὸ κακὸν ἐν ταῖς Ἀθάναις τοῦτ' ἔνι.
Δι. θάῤῥει, Μεγαρίκ'· ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου
τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας,
καὶ χαῖρε πολλά γ'.
Με. ἀλλὰ μὲν οὐκ ἐπιχώριον.
Δι. πολυπραγμοσύνης νυν· ἐς κεφαλὴν τρέποιτ' ἐμοί.
Με. ὦ χοιρίδια, πειρῆσθε, κἄνις τῶ πατρὸς,

Digitized by Google

Meg. Alterum quidem alliorum manipulo: alterum vero, si tibi collubuerit, unico salis choenice.

Dic. Emam abs te. Opperire hic.

Meg. Hæc quidem prospere cesserunt. Mercuri, lucri dator, adnue, ut uxorem meam sic vendam, meamque ipsius matrem.

Syc. Heus tu, cujas es?

Meg. Porculator Megaricus.

Syc. Proinde porcellos istos, teque ipsum deferam, tanquam hostiles.

Meg. Ecce iterum hoc ipsum redit, unde nobis exortum est principium malorum.

Syc. Cum magno tuo malo megaricissabis: nonne dimittes saccum?

Meg. Dicæopoli, Dicæopoli, deferor a nescio quo.

Dic. Quis est, qui te defert? vos vero, Agoranomi, nonne excludetis quadruplatores foras? Quid, malum, ô stolide, quadruplare sine funali?

Syc. Annon deferam hostes?

Dic. Cum magno tuo malo, nisi aliorsum abeas, ubi calumniam exerceas.

Meg. Quale hoc Athenis inest malum!

Dic. Bono animo es, Megarice. Age, quo porcellos vendidisti pretio, accipe allia ista et salem; multumque vale.

Meg. Sed valere apud nos moris non est.

Dic. In meum ergo caput vertat, quia minus opportune dixi.

Meg. O porcelli, facite nunc periculum, an sine patre possitis edere mazam cum sale, si modo quis dederit.

Digitized by Google

Chor. Sane iste homo beatus est: nonne audivisti, quo evadat consilium illud? lucrum faciet ille in foro desidens; et si quis ingressus fuerit Ctesias, aut delator alius, ejulans sedebit: nec alius quisquam clam obsonans tibi damnum dabit, nec affricabit Prepis impudicitiam suam tibi, nec in turba truderis a Cleonymo; verum lænam habens nitidam transibis: nec obviam tibi factus Hyperbolus litibus te implebit: nec in foro ambulans congredietur te Cratinus, semper forficibus cinædice tonsus: nec improbissimus ille Artemo, nimis expeditus arte musica, cui graveolens hircus in alis cubat: neque etiam te ludibrio habebit in foro Pauson ille pessimus, nec Lysistratus, Cholargensium opprobrium, sceleribus, quasi purpura, tinctus, algens et esuriens assidue plus triginta diebus quot mensibus.

Digitized by Google

παίειν ἐφ' ἁλὶ τὰν μάδδαν, αἴκα τις διδῷ.
εὐδαιμονεῖ γ' ὥνθρωπος. οὐκ ἤκουσας, οἷ προβαίνει
τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ὡνὴρ
ἐν τῇ 'γορᾷ καθήμενος·
κᾂν εἰσίῃ τις Κτησίας,
ἢ συκοφάντης ἄλλος, οἰ-
μώζων καθεδεῖται·
οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖται·
οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι·
οὐδ' ὠστιεῖ Κλεωνύμῳ·
χλαῖναν δ' ἔχων φανὴν, δίει·
κοὐ ξυντυχὼν Ὑπέρβολος
δικῶν ἀναπλήσει·
οὐδ' ἐντυχὼν ἐν τῇ 'γορᾷ πρόσεισί σοι βαδίζων
Κρατῖνος ἀεὶ κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ·
οὐδ' ὁ περιπόνηρος Ἀρτέμων,
ὁ ταχὺς ἄγαν τὴν μουσικὴν,
ὄζων κακὸν τῶν μασχαλῶν
πατρὸς Τραγασαίου·
οὐδ' αὖθις αὖ σε σκώψεται Παύσων ὁ παμπόνηρος,
Λυσίστρατός τ' ἐν τῇ 'γορᾷ, Χολαργέων ὄνειδος,
ὁ περιαλουργὸς τοῖς κακοῖς,
ῥιγῶν τε καὶ πεινῶν ἀεὶ
πλεῖν ἢ τριάκονθ' ἡμέρας
τοῦ μηνὸς ἑκάστου.

Digitized by Google

ΒΟΙΩΤΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΝΙΚΑΡΧΟΣ, ΧΟΡΟΣ, ΘΕΡΑΠΩΝ *Λαμάχου*, ΚΗΡΥΞ, ΓΕΩΡΓΟΣ, ΠΑΡΑΝΥΜΦΟΣ, ΑΓΓΕΛΟΙ, ΛΑΜΑΧΟΣ.

Βο. ΙΤΤΩ Ἡρακλῆς, ἔκαμόν γα τὰν τύλαν κακῶς
κατάθου τὺ τὰν γλάχων' ἀτρέμας, Ἰσμηνία·
ὑμὲς δ', ὅσοι Θείβαθεν αὐληταὶ πάρα,
τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.
Δι. παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυρῶν;
πόθεν προσέπταν οἱ κακῶς ἀπολούμενοι
ἐπὶ τὴν θύραν μοι Χαιριδῆς βομβαύλιοι;
Βο. νεὶ τὸν Ἰόλαον, ἐπιχαρίτως γ' ἄν, ὦ ξένε·
Θείβαθι γὰρ φυσᾶντες ἐξόπισθέ μου,
τἄνθεια τᾶς γλάχωνος ἀπέκιξαν χαμαί.
ἀλλ', εἴ τι βούλει, πρίασο, τῶν ἐγὼ φέρω,
τῶν ὀρταλίχων, ἢ τῶν τετραπτερυλλίδων.
Δι. ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον.
τί φέρεις;
Βο. ὅσ' ἐστὶν ἀγαθὰ Βοιωτοῖς ἁπλῶς,
ὀρίγανον, γλαχώ, ψιάθως, θρυαλλίδας,
νάσσας, κολοιώς, ἀτταγᾶς, φαλαρίδας,
τροχίλως, κολύμβως.
Δι. ὡσπερεὶ χειμὼν ἄρα
ὀρνιθίας, ἐς τὴν ἀγορὰν ἐλήλυθας.
Βο. καὶ μὰν φέρω χᾶνας, λαγώς, ἀλώπεκας,
σκάλοπας, ἐχίνως, αἰελούρως, πυκτίδας,
ἰκτίδας ἐνύδρως, ἐγχέλεις Κωπαΐδας.

Digitized by Google

BŒOTUS, DICÆOPOLIS, NICARCHUS, CHORUS, FAMULUS Lamachi, PRÆCO, AGRICOLA, PARANYMPHUS, NUNTII, LAMACHUS.

Bœot. Testis sit Hercules, ut mihi pessime dolet callus humeri. Depone placide pulegium, Ismenia: vos vero, quotquot adestis Thebani tibicines, osseis tibiis inflate canis culum.

Dic. Desine; in malam rem. Non facessent a foribus crabrones? unde advolarunt perditissimi ad januam mihi raucisoni tibicines, pulli Chæridis?

Bœot. Me volente sane, hospes, abierint in malam rem, ita mihi faveat Iolaus: nam inde a Thebis pone me flantes, etiam flores pulegii depulerunt humi. Sed, si lubet, eme quidpiam istorum, quæ fero, gallos gallinaceos, aut cicadas.

Dic. O salve Bœotule, collicum helluo, quid fers?

Bœot. Quidquid omnino boni est apud Bœotos, origanum, pulegium, storeas, ellychnia, anates, graculos, attagenas, phalaridas, regulos, mergos—

Dic. Ergo quasi tempestas, quæ aves sternit humi, venisti ad forum.

Bœot. Quin etiam fero anseres, lepores, vulpes, talpas, erinaceos, feles, pyctidas, lutras, anguillas Copaicas.

Digitized by Google

Dic. O qui suavissimum piscem fers hominibus, da mihi copiam illas salutandi, si fers anguillas.

Bœot. Maxima virginum quinquaginta Copaidum, exi, et huic hospiti gratificare.

Dic. O dilectissima et dudum expetita, venisti desiderabilis comicis choris, grata etiam Morycho. Vos famuli efferte foculum mihi huc et flabellum. Spectate, pueri, pulcherrimam anguillam, quæ desiderata, vix demum sexto venit anno: salutate ipsam, ô filii: prunas autem vobis præbebo, hujus hospitæ gratia. Sed intro aufer ipsam; nunquam enim ego, ne mortuus quidem, sine te velim esse, si cum betis cocta sis.

Bœot. Hujus autem pretium quo pacto mihi solvetur?

Dic. Hanc dabis mihi tanquam vectigal fori. Sed siquid vendis ex ceteris istis, dic.

Bœot. Equidem omnia.

Dic. Cedo, quanti ea æstimas? aut alias hinc merces vis reportare domum.

Bœot. Quidquid Athenis est, quod non sit apud Bœotos.

Dic. Apuas itaque emes et asportabis, aut fictilia.

Bœot. Apuas, inquis, aut fictilia? atqui hæc sunt illic; sed quod apud nos non est, hic autem affatim.

Dic. Equidem scio: asporta igitur quadruplatorem, sicut vas fictile ligatum.

Bœot. Ita me Dioscuri ament, scilicet multum lucrifacerem, si abducerem, tanquam simium flagitiis multis plenum.

Digitized by Google

Δι. ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων,
δός μοι προσειπεῖν, εἰ φέρεις τὰς ἐγχέλεις.
Βο. πρέσβειρα πεντήκοντα Κωπαΐδων κορᾶν,
ἔκβαθι, τῷδε κὴπιχαρίττα τῷ ξένῳ.
Δι. ὦ φιλτάτη σὺ, καὶ πάλαι ποθουμένη,
ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς,
φίλη δὲ Μορύχῳ. δμῶες ἐξενέγκατε
τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
σκέψασθε, παῖδες, τὴν ἀρίστην ἐγχέλυν,
ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην·
προσείπατ' αὐτὴν, ὦ τέκν'· ἄνθρακας δ' ἐγὼ
ὑμῖν παρέξω, τῆσδε τῆς ξένης χάριν.
ἀλλ' ἔσφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.
Βο. ἐμοὶ δὲ τιμὰ τᾶσδε πεῖ γενήσεται;
Δι. ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί.
ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων, λέγε.
Βο. ἰώνγα ταῦτα πάντα.
Δι. φέρε, πόσου λέγεις;
ἢ φορτί' ἕτερ' ἐνθένδ' ἐκεῖσ' ἄξεις ἰών;
Βο. ὅ τι γ' ἔστ' Ἀθάναις, ἐν Βοιωτοῖσιν δὲ μή.
Δι. ἀφύας ἄρ' ἄξεις πριάμενος Φαληρικὰς,
ἢ κέραμον.
Βο. ἀφύας ἢ κέραμον; ἀλλ' ἔντ' ἐκεῖ·
ἀλλ' ὅ τι παρ' ἁμῖν μή 'στι, τᾶδε δ' αὖ πολύ.
Δι. ἐγᾦδα· τοίνυν συκοφάντην ἔξαγε,
ὥσπερ κέραμον, ἐνδησάμενος.
Βο. νεὶ τὼ σιώ,

Digitized by Google

λάβοιμι μέντ' ἂν κέρδος, ἀγαγὼν, καὶ πολὺ,
ἅπερ πίθακον ἀλιτρίας πολλᾶς πλέον.

Δι. καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.

Βο. μικκός γα μᾶκος οὗτος.

Δι. ἀλλ' ἅπαν κακόν.

Νι. ταυτὶ τίνος τὰ φορτί' ἐστί;

Βο. τῶδ' ἐμοῦς
Θείβαθεν, ἴττω Ζεύς.

Νι. ἐγὼ τοίνυν ὁδὶ
φαίνω πολέμια ταῦτα.

Βο. τί καὶ κακὸν παθὼν
ὀρναπετίοισι πόλεμον ἦρα καὶ μάχαν;

Νι. καὶ σέ γε φανῶ πρὸς τοῖσδε.

Βο. τί ἀδικειμένος;

Νι. ἐγὼ φράσω σοι τῶν περιεστώτων χάριν.
ἐκ τῶν πολεμίων εἰσάγεις θρυαλλίδας.

Δι. ἔπειτα φαίνεις δῆτα διὰ θρυαλλίδας;

Νι. αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.

Δι. νεώριον θρυαλλίς;

Νι. οἶμαι.

Δι. τίνι τρόπῳ;

Νι. ἐνθεὶς ἂν εἰς τίφην ἀνὴρ Βοιώτιος,
ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον
δι' ὑδρορόας, βορέαν ἐπιτηρήσας μέγαν.
κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
σελαγοῖντ' ἂν εὐθύς.

Δι. ὦ κάκιστ' ἀπολούμενε,
σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;

Digitized by Google

Dic. Sed eccum commode huc venit Nicarchus iste quempiam delaturus.

Bœot. Parvæ utique staturæ hic est.

Dic. Sed nihil nisi nequitia.

Nic. Cujusnam sunt istæ merces?

Bœot. Hujus hominis, mei, inquam, ex Thebis: testis sit Jupiter.

Nic. Itaque hicce ego ista defero, utpote hostilia.

Bœot. Quid, malum, eo te impellit, ut cum avibus bellum pugnamque ineas?

Nic. Immo te quoque deferam insuper.

Bœot. Quanam in re læsus?

Nic. Dicam equidem tibi, istorum gratia qui hic adstant: ab hostibus importas ellychnia.

Dic. Itane, quæso, propter ellychnia hominem defers?

Nic. Quippe unum eorum facile incenderet navale.

Dic. Ellychnium incenderet navale?

Nic. Arbitror.

Dic. Quo pacto?

Nic. Bœotius aliquis id infixum blattæ et incensum immitteret in navale per canalem, observato Boreæ flatu vehementiore, et si corriperet naves ignis semel, extemplo flammis collucerent cunctæ.

Dic. O perditissime! itane vero collucerent flammis ob blattam et ellychnium?

Digitized by Google

Nic. Antestor.

Dic. Comprime ei os: da mihi sarmenta, ut eum illige feratque Bœotus, tanquam vas fictile, ne frangatur inter fere dum.

Chor. Illiga bene, vir optime, hospiti mercem hanc, ut eam inter portandum frangat.

Dic. Id mihi curæ erit, quandoquidem tinnitus ejus argu garrulum quiddam, et igni ruptum, et diis invisum.

Chor. Quidnam vero faciet illo?

Dic. Vas erit ad omnia utile: crater malorum, trapetu litium, candelabrum ad reddendæ rationi obnoxios patefacien dos, et calix, in quo negotia mista turbentur.

Chor. Sed quomodo quis secure utatur ejusmodi vase, cu jus continuo strepitu tantopere personat domus?

Dic. Firmum est, ô bone, ut non facile frangatur unquam, si pedibus suspendatur demisso capite.

Chor. Jam bene satis colligatus est.

Bœot. Equidem constitui manipulos meos colligere.

Chor. Itaque, hospes optime, una sustolle hunc etiam pre-hensum, et ablatum jacito quocunque lubet, aptum ad omnia sycophantam.

Dic. Vix colligavi tandem hominem male perditum. Ac-cipe et sustolle hoc fictile vas, ô Bœotie.

Digitized by Google

Νι. μαρτύρομαι.
Δι. ξυλλάμβαν' αὐτοῦ τὸ στόμα·
δός μοι φορυτὸν, ἵν' αὐτὸν ἐνδήσας φέρῃ,
ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φερόμενος.
Χο. ἔνδησον, ὦ βέλτιστε, τῷ ξένῳ καλῶς
τὴν ἐμπολὴν οὕτως, ὅπως
ἂν μὴ φέρων κατάξῃ.
Δι. ἐμοὶ μελήσει ταῦτ', ἐπεί τοι καὶ ψοφεῖ
λαλόν τι καὶ πυρορραγὲς,
κἄλλως θεοῖσιν ἐχθρόν.
Χο. τί χρήσεταί ποτ' αὐτῷ;
Δι. πάγχρηστον ἄγγος ἔσται,
κρατὴρ κακῶν, τριπτὴρ δικῶν,
φαίνειν ὑπευθύνους λυχνοῦχος, καὶ κύλιξ
τὰ πράγματ' ἐγκυκᾶσθαι.
Χο. πῶς δ' ἂν πεποιθοίη τις ἀγ-
γείῳ τοιούτῳ χρώμενος κατ' οἰκίαν
τοσόνδ' ἀεὶ ψοφοῦντι;
Δι. ἰσχυρόν ἐστιν, ὦ 'γάθ', ὥστ'
οὐκ ἂν καταγείη ποτ', εἴ-
περ ἐκ ποδῶν κατωκάρα κρέμαιτό γε.
Χο. ἤδη καλῶς ἔχει σοι.
Βο. μέλλω γέ τοι θερίδδεν.
Χο. ἀλλ', ὦ ξένων βέλτιστε, συν-
θέριζε, καὶ τοῦτον λαβὼν,
πρόβαλλ', ὅπου βούλει, φέρων
πρὸς πάντα συκοφάντην.
Δι. μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολούμενον.

Digitized by Google

αἶρου λαβὼν τὸν κέραμον, ὦ Βοιώτιε.

Βο. ἴθι δῆθ', ὑπόκυπτε τὰν τύλαν, Ἰσμήνιχε,
χὤπως κατοίσεις αὐτὸν εὐλαβούμενος.

Δι. πάντως μὲν οἴσεις οὐδὲν ὑγιές· ἀλλ' ὅμως
κᾂν τοῦτο κερδάνοις ἄγων τὸ φορτίον·
εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.

Θε. Λα. Δικαιόπολι.

Δι. τίς ἐστι; τί με βωστρεῖς;

Θε. ὅτι
ἐκέλευσε Λάμαχός σε ταύτης τῆς δραχμῆς
εἰς τοὺς Χοᾶς αὐτῷ μεταδοῦναι τῶν κιχλῶν·
τριῶν δραχμῶν δ' ἐκέλευε Κωπαΐδ' ἐγχέλυν.

Δι. ὁποῖος οὗτος Λάμαχος τὴν ἐγχέλυν;

Θε. ὁ δεινὸς, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα
πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους.

Δι. οὐκ ἂν, μὰ Δί', εἰ δοίη γ' ἐμοὶ τὴν ἀσπίδα·
ἀλλ' ἐπὶ ταρίχη τοὺς λόφους κραδαινέτω·
ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον,
εἴσειμ' ΥΠΑΙ ΠΤΕΡΥΓΩΝ ΚΙΧΛΑΝ ΚΑΙΚΟΨΙΧΩΝ.

Χο. εἶδες ὦ, εἶδες, ὦ
πᾶσα πόλι, τὸν φρόνιμον ἄνδρα, τὸν ὑπέρσοφον,
οἷ' ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾷν,
ὧν τὰ μὲν ἐν οἰκίᾳ
χρήσιμα· τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν
τῷδ' ἐπὶ τὸ δεῖπνον. ἅμα καὶ μεγάλα δὴ φρονεῖ·
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα, τάδε τὰ πτερὰ πρὸ τῶν θυρῶν.

Digitized by Google

Bœot. Agedum submitte callosum humerum, Ismeniche, et operam da, ut feras istum caute.

Dic. Nihil utique boni feres, sed tamen id saltem lucri feceris, hoc ferens onus: beatus eris quadruplatorum gratia.

Fam. Lam. Dicæopoli.

Dic. Quis est? quid me vocas?

Fam. Quia postulat a te Lamachus, ut sibi pro ista drachma turdos impertias aliquot ad Choas: postulat etiam ut sibi tribus drachmis vendas anguillam Copaicam.

Dic. Qualis est ille Lamachus, qui anguillam petit?

Fam. Ille terribilis, ille laborum patiens, qui clypeum Gorgone insignitum concutit, motans tres umbrosas cristas.

Dic. Non ei mehercle venderem, etiamsi mihi daret illum suum clypeum: sed ad salsamenta cristas suas motans se conferat: si autem tumultuabitur, Agoranomos advocabo. Ego autem adsumtis his, quæ emi, intrabo *sublatus alis turdorum et merularum.*

Chor. Vidistis, vidistis, ô cives omnes, virum prudentem et sapientissimum, ut ei nunc, postquam inducias pepigit, omnia coëmere liceat, quæ solent a mercatoribus advehi, quorum alia domi sunt utilia, alia comedentem juvant, tepida cœnæ adposita. Simul etiam magnos spiritus sumit, hasque plumas ante

Digitized by Google

ostium projicit, documento futuras opipari victus: bona huic sponte suggeruntur omnia. Martem ego nunquam excipiam domo, neque apud me unquam Harmodium cantabit mecum accumbens, quia vinolentus et contumeliosus homo est, qui ad nos omnibus abundantes bonis commissabundus irruens, omnia nobis intulit mala, evertens, effundens, et cædens etiam, tametsi eum sæpe invitabamus comiter his verbis: *Bibe, accumbe, cape hoc amicitiæ poculum.* At ille multo magis flammam admovebat ridicis, effundebatque nostrum vinum violenter e vitibus.

Dic. O Veneris venustæ, et amicarum Gratiarum socia Pax, mene ignorasse, quam pulchra esses facie? Utinam me et te copulet Amor aliquis, coronatus rosis, ut iste pictus! aut forte putas me nimis esse senem? sed si te prehendam, videor mihi adhuc tria tibi applicaturus commoda: primo quidem ducam viticulæ longum sulcum; deinde juxta hunc tenera germina ficuum, et tertio loco vitis palmitem plantabo ille ego senex, et circa prædium omne seram oleas, ut ambo ungamur oleo festis noviluniis.

Præc. Audite populi. More patrio congiis potate ad tubæ clangorem: qui autem exhauserit primus, utrem Ctesiphontis accipiet.

Dic. O pueri, ô mulieres, nonne audivistis? quid agitis? non auscultatis præconi? Elixas facite, torrete, versate in igne,

Digitized by Google

αὐτόματα πάντ' ἀγαθὰ τῷδέ γε πορίζεται.
οὐδέποτ' ἐγὼ πόλεμον οἴκαδ' ὑποδέξομαι·
οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται
ξυγκατακλινείς, ὅτι παροίνιος ἀνὴρ ἔφυ,
ὅστις ἐπὶ πάντ' ἀγάθ' ἔχοντας ἐπικωμάσας,
εἰργάσατο πάντα κακά, κᾀνέτρεπε, κᾀξέχει,
κᾀμάχετο, καὶ προσέτι πολλὰ προκαλουμένους·
Πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν.---
τὰς χάρακας ἧπτε πολὺ μᾶλλον ἐν τῷ πυρί,
ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.
Δι. ὦ Κύπριδι τῇ καλῇ καὶ Χάρισι ταῖς φίλαις
ξύντροφε Διαλλαγή,
ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἄρ' ἐλάνθανες.
πῶς ἂν ἐμὲ καὶ σέ τις Ἔρως ξυναγάγοι λαβών,
ὥσπερ ὁ γεγραμμένος, ἔχων στέφανον ἀνθέμων;
ἢ πάνυ γερόντιον ἴσως νενομικάς με σύ;
ἀλλά σε λαβών, τρία δοκῶ γ' ἂν ἔτι προσβαλεῖν.
πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχον ἐλάσαι μακρόν·
εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων·
καὶ τὸ τρίτον ἡμερίδος ὄσχον, ὁ γέρων ὁδί,
καὶ περὶ τὸ χωρίον ἅπαν ἐλαΐδας ἐν κύκλῳ,
ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν, κᾀμέ, ταῖς νουμηνίαις.
Κη. ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τοὺς χοᾶς
πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ
πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.
Δι. ὦ παῖδες, ὦ γυναῖκες, οὐκ ἠκούσατε;
τί δρᾶτε, τοῦ κήρυκος οὐκ ἀκούετε;
ἀναβράττετ', ἐξοπτᾶτε, τρέπετ', ἀφέλκετε

Digitized by Google

τὰ λαγῷα, ταχέως τοὺς στεφάνους ἀνείρετε.
φέρε τοὺς ὀβελίσκους, ἵν᾽ ἀναπείρω τὰς κίχλας.
Χο. ζηλῶ σε τῆς εὐβουλίας,
μᾶλλον δὲ τῆς εὐωχίας,
ἄνθρωπε, τῆς παρούσης.
Δι. τί δῆτ᾽, ἐπειδὰν τὰς κίχλας
ὀπτωμένας ἴδητε;
Χο. οἶμαί σε καὶ τοῦτ᾽ εὖ λέγειν.
Δι. τὸ πῦρ ὑποσκάλευε.
Χο. ἤκουσας, ὡς μαγειρικῶς,
κομψῶς τε, καὶ δειπνητικῶς
αὑτῷ διακονεῖται;
Γε. οἴμοι τάλας.
Δι. ὦ Ἡράκλεις, τίς οὑτοσί;
Γε. ἀνὴρ κακοδαίμων.
Δι. κατὰ σεαυτόν νυν τρέπου.
Γε. ὦ φίλτατε, σπονδαὶ γάρ εἰσί σοι μόνῳ,
μέτρησον εἰρήνης τί μοι, κἂν πέντ᾽ ἔτη.
Δι. τί δ᾽ ἔπαθες;
Γε. ἐπετρίβην ἀπολέσας τὼ βόε.
Δι. πόθεν;
Γε. ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι.
Δι. ὦ τρισκακοδαίμων, εἶτα λευκὸν ἀμπέχει;
Γε. καὶ ταῦτα μέντοι, νὴ Δί᾽, ὥπερ μ᾽ ἐτρεφέτην
ἐν πᾶσι βολίτοις.
Δι. εἶτα νυνὶ τοῦ δέει;
Γε. ἀπόλωλα τὼ 'φθαλμὼ, δακρύων τὼ βόε.
ἀλλ᾽, εἴ τι κήδει Δερκέτου Φυλασίου,

Digitized by Google

letrahite a verubus carnes leporinas: ocius corollas nectite: edo vericula, ut figam turdos.

Chor. Laudo fortunas tuas, ob eam, qua polles, prudentiam, nultoque magis, mi homo, ob præsentes epulas.

Dic. Quid ergo dicetis, quando videbitis turdos, ut assabunur?

Chor. Arbitror et hoc te recte dicere.

Dic. Sarculo suscita ignem.

Chor. Audistine, ut more coquino, sciteque et cœnatorie ibi omnia administrari jubeat?

Ag. Hei mihi misero!

Dic. Pro Hercules! quis iste?

Ag. Homo infortunatus.

Dic. Ergo quo occepisti, perge tua via.

Ag. O carissime, quandoquidem induciæ tibi soli pactæ unt, admetire mihi aliquid pacis, saltem in quinquennium.

Dic. Quid mali tibi accidit?

Ag. Interii amisso boum pari.

Dic. Unde?

Ag. E Phyla ceperunt Bœotii.

Dic. O termiserum! nihilominus tamen læna amiciris candida?

Ag. Qui quidem, ita me Jupiter amet, alebant me fimo boino, quasi omni genere deliciarum.

Dic. Quid igitur opus est tibi?

Ag. Oculos meos corrupi, boves illos deflendo. Sed, si tibi uræ est Dercetes Phylasius, Pace unge mihi oculos ocius.

Digitized by Google

Dic. At, ô miser, medicinam publice non facio.

Ag. Age vero obsecro, unge, si forte boves meos recuperare possim.

Dic. Haud potis est: sed abi ploratum ad Pittali discipulos.

Ag. Saltem unam guttam Pacis in istum calamum instilla.

Dic. Ne tantillum quidem: sed quo vis abi et ejula.

Ag. Heu me infelicem amissorum boum!

Chor. Homo iste per suas inducias aliquid nactus est dulcedinis: nec videtur quemquam participem facturus.

Dic. Perfunde has lactes melle: assa sepias.

Chor. Audin' altam ejus vocem?

Dic. Torrete anguillas.

Chor. Enecabis me vicinosque fame et nidore et clamore, talia vociferans.

Dic. Torrete ista, et facitote ut pulchre flavescant.

Par. Dicæopolis.

Dic. Quis iste? quis iste?

Par. Misit tibi carnes has sponsus quis e nuptialibus epulis.

Dic. Benigne fecit, quisquis est.

Par. Orat autem, ut, carnium istarum gratia, infundas in hunc alabastrum cyathum Pacis unicum, ne militatum abire cogatur, sed domi manens usque futuat assiduo.

Dic. Aufer, aufer istas carnes, et ne mihi dederis; nam non

Digitized by Google

ὑπάλειψον εἰρήνῃ με τὼ 'φθαλμὼ ταχύ.
Δι. ἀλλ', ὦ πόνηρ', οὐ δημοσιεύων τυγχάνω.
Γε. ἴθ' ἀντιβολῶ σ', ἤν πως κομίσωμαι τὼ βόε.
Δι. οὐκ ἔστιν, ἀλλὰ κλᾶε πρὸς τοὺς Πιττάλου.
Γε. σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα
εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
Δι. οὐδ' ἂν στριβιλικίγξ· ἀλλ' ἀπιὼν οἴμωζέ ποι.
Γε. οἴμοι κακοδαίμων, τοῖν γεωργοῖν βοϊδίοιν.
Χο. ἁνὴρ ἀνεύρηκέν τι ταῖς
σπονδαῖσιν ἡδύ· κοὐκ ἔοι-
κεν οὐδενὶ μεταδώσειν.
Δι. κατάχει σὺ τῆς χορδῆς τὸ μέλι.
τὰς σηπίας στάθευε.
Χο. ἤκουσας ὀρθιασμάτων;
Δι. ὀπτᾶτε τἀγχέλεια.
Χο. ἀποκτενεῖς λιμῷ με καὶ
τοὺς γείτονας, κνίσσῃ τε καὶ
φωνῇ, τοιαῦτα λάσκων.
Δι. ὀπτᾶτε ταυτὶ, καὶ καλῶς ξανθίζετε.
Πα. Δικαιόπολι.
Δι. τίς οὑτοσὶ, τίς οὑτοσί;
Πα. ἔπεμψέ τις σοι τὰ κρέα ταῦτα νυμφίος
ἐκ τῶν γάμων;
Δι. καλῶς γε ποιῶν, ὅστις ἦν.
Πα. ἐκέλευε δ' ἐγχέαι σε, τῶν κρεῶν χάριν,
ἵνα μὴ στρατεύοιτ', ἀλλὰ βινοίη μένων,
ἐς τόνδ' ἀλάβαστον κύαθον εἰρήνης ἕνα.
Δι. ἀπόφερ', ἀπόφερε τὰ κρέα, καὶ μή μοι δίδου,

Digitized by Google

ὡς οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
ἀλλ' αὑτηῒ, τίς ἐστίν;

Πα. ἡ νυμφεύτρια·
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.

Δι. φέρε δὴ, τί σὺ λέγεις;—ὡς γελοῖον, ὦ θεοὶ,
τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα,
ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
φέρε δεῦρο τὰς σπονδὰς, ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνή 'στι, τοῦ πολέμου τ' οὐκ ἀξία.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι.
οἶσθ' ὡς ποιεῖται τοῦτο; τῇ νύμφῃ φράσον,
ὅταν στρατιώτας καταλέγωσι, τουτῳῒ
νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
ἀπόφερε τὰς σπονδάς· φέρε τὴν οἰνήρυσιν,
ἵν' οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χοᾶς.

Χο. καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακὼς,
ὥσπερ τι δεινὸν ἀγγελῶν, ἐπείγεται.

Αγ. α'. ἰὼ πόνοι τε, καὶ μάχαι, καὶ Λάμαχοι.

Λα. τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ;

Αγ. α'. ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον,
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους·
κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς.
ὑπὸ τοὺς Χοᾶς γὰρ καὶ Χύτρους αὐτοῖσί τις
ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.

Λα. ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες.

Δι. οὐ δεινὰ μὴ 'ξεῖναί με μηδ' ἑορτάσαι;
ἰὼ στράτευμα πολεμολαμαχαϊκόν.

Λα. οἴμοι κακοδαίμων· καταγελᾷς ἤδη σύ μου;

Digitized by Google

infunderem, etsi mille drachmas dares. Sed mulier ista quænam est?

Par. Pronuba est, vult sponsæ nomine aliquid tibi dicere soli.

Dic. Agedum tu, quid dicis?—Quam ridicula, pro dii immortales, est petitio sponsæ, enixe flagitantis a me, ut sponsi penis domi manere queat. Fer huc mihi inducias ut dem ei soli, quoniam femina est, et indigna, quæ belli adficiatur incommodis. Huc age mulier, ampullam porrige.—Scisne quomodo utendum sit isto? Dic sponsæ, quando militum fiet delectus, noctu hoc inungat sponsi mentulam.—Aufer inducias: cedo trullam, ut vinum infundam in congios.

Chor. Sed eccum huc festinat aliquis contracto supercilio, quasi horrendum quiddam nuntiaturus.

Nunt. I. O labores, et prælia, et Lamachi!

Lam. Quis circum ædes æreis phaleris insignes strepit?

Nunt. I. Proficisci te jubent Prætores hodie sumtis celeriter cohortibus et cristis, et aditus regionis custodire, licet ningat. Nam sub ipsum Choum Chytrorumque festum nuntiavit illis aliquis prædones Bœotios incursionem fecisse in agros.

Lam. O Prætores quanto plures tanto pejores!

Dic. Nonne molesta hæc res est, quum nec festum celebrare mihi licet? ô exercitum bellolamachaicum!

Lam. Væ misero mihi! tune derides me jam?

Digitized by Google

DIC. Visne pugnare cum Geryone quatuor pennis cristato?

LAM. Ah ah! qualem mihi præco nuntium adtulit!

DIC. Ah ah! mihi vero qualem adportabit iste, qui huc adcurrit?

NUNT. II. Dicæopolis.

DIC. Quid est?

NUNT. II. Ad cœnam propere abi, et fer tecum cistam cum congio; namque te arcessit Bacchi Sacerdos: sed festina: convivas moraris dudum. Cetera enim omnia parata sunt, tori, mensæ, pulvinaria, stragula, coronæ, unguentum, bellaria; scorta adsunt, amyli, placentæ, liba sesamo sparsa, crusta, saltatrices pulchræ, Harmodi deliciæ. Sed quam citissime propera.

LAM. Me miserum!

DIC. Quippe tu magna Gorgone insignisti clypeum tuum. Occludat quis ostium et cœnam paret.

LAM. Puer, puer, effer huc mihi sportam.

DIC. Puer, puer, effer huc mihi cistam.

LAM. Salem thymo intritum fer, puer, et cepas.

DIC. Mihi autem pisces: nam cepas fastidio.

LAM. Folio involutum fer huc mihi salsamentum vetus.

DIC. Et tu mihi, puer, libum in folio: id autem illic assabo.

LAM. Fer huc mihi pennas illas de galea.

DIC. Mihi vero palumbos fer et turdos.

LAM. Pulchra est et candida struthocameli penna.

Digitized by Google

Δι. βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;
Λα. αἲ, αἴ·
οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλ' ἐμοί.
Δι. αἲ, αἴ· τίνα δ' αὖ μοι προστρέχει τις ἀγγελῶν;
Αγ. β'. Δικαιόπολι.
Δι. τί ἐστιν;
Αγ. β'. ἐπὶ δεῖπνον ταχὺ
βάδιζε, τὴν κίστην λαβὼν καὶ τὸν χοᾶ.
ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
ἀλλ' ἐγκόνει· δειπνεῖν κατακωλύεις πάλαι.
τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα,
κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα,
στέφανοι, μύρον, τραγήμαθ', αἱ πόρναι πάρα,
ἄμυλοι, πλακοῦντες, σησαμοῦντες, ἴτρια,
ὀρχηστρίδες, τὰ φίλταθ' Ἁρμοδίου, καλαί.
ἀλλ' ὡς τάχιστα σπεῦδε.
Λα. κακοδαίμων ἐγώ.
Δι. καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.
σύγκλειε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.
Λα. παῖ, παῖ, φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
Δι. παῖ, παῖ, φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί.
Λα. ἅλας θυμίτας οἶσε, παῖ, καὶ κρόμμυα.
Δι. ἐμοὶ δὲ τεμάχη· κρομμύοις γὰρ ἄχθομαι.
Λα. θρῖον ταρίχους οἶσε δεῦρο, παῖ, σαπροῦ.
Δι. κἀμοὶ σὺ δὴ, παῖ, θρῖον· ὀπτήσω δ' ἐκεῖ.
Λα. ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ 'κ τοῦ κράνους.
Δι. ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
Λα. καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν.

Digitized by Google

Δι. καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
Λα. ὤνθρωπε, παῦσαι καταγελῶν μου τῶν ὅπλων.
Δι. ὤνθρωπε, βούλει μὴ βλέπειν εἰς τὰς κίχλας;
Λα. τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
Δι. κἀμοὶ λεκάνιον τῶν λαγώων δὸς κρεῶν.
Λα. ἀλλ' ἢ τριχόβρωτες τοὺς λόφους μου κατέφαγον.
Δι. ἀλλ' ἢ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.
Λα. ὤνθρωπε, βούλει μὴ προσαγορεύειν ἐμέ;
Δι. οὐκ· ἀλλ' ἐγὼ χὠ παῖς ἐρίζομεν πάλαι.
βούλει περιδόσθαι, κἀπιτρέψαι Λαμάχῳ,
πότερον ἀκρίδες ἥδιόν ἐστιν, ἢ κίχλαι;
Λα. οἴμ' ὡς ὑβρίζεις.
Δι. τὰς ἀκρίδας κρίνει πολύ.
Λα. παῖ, παῖ, καθελών μοι τὸ δόρυ, δεῦρ' ἔξω φέρε.
Δι. παῖ, παῖ, σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
Λα. φέρε, τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον.
ἔχ', ἀντέχου παῖ.
Δι. καὶ σὺ, παῖ, τοῦδ' ἀντέχου.
Λα. τοὺς κιλλίβαντας οἶσε, παῖ, τῆς ἀσπίδος.
Δι. καὶ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
Λα. φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.
Δι. κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.
Λα. ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;
Δι. ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;
Λα. κατάχει σὺ, παῖ, τοὔλαιον ἐν τῷ χαλκίῳ.
ἐνορῶ γέροντα δειλίας φευξούμενον.
Δι. κατάχει σὺ τὸ μέλι. κἀνθάδ' εὔδηλος γέρων
κλάειν κελεύων Λάμαχον τὸν Γοργάσου.

Dic. Pulchra est et flava palumbi caro.

Lam. Mi homo, desine armaturam meam deridere.

Dic. Mi homo, potin' es, ut ad turdos non respicias?

Lam. Thecam mihi effer, in qua triplex recondita est crista.

Dic. Et mihi da lancem carne refertam leporina.

Lam. Utique crinivoræ tineæ cristas meas corroserunt.

Dic. Utique ante cœnam lactes leporinas comedam.

Lam. Mi homo, potin' es, quin me alloquaris?

Dic. Non te alloquor: sed ego et puer rixamur dudum. Vin' pignus mecum dare, Lamacho judice, utrum locustæ sint suaviores, an turdi.

Lam. Vah! ut contumeliosus es!

Dic. Locustas judicat multo suaviores.

Lam. Puer, puer, hastam deprome et huc effer mihi.

Dic. Puer, puer, fartum intestinum deprome et fer huc.

Lam. Age, vaginam hastæ detraham; tene, puer, obnitere.

Dic. Et tu, puer, istum tene, et obnitere.

Lam. Fer, puer, fulcra mei clypei.

Dic. Mei etiam fulcra effer, panes e clibano.

Lam. Fer huc orbem clypei Gorgonem in tergo habentem.

Dic. Et mihi orbem placentæ caseum in tergo habentem.

Lam. Annon hic derisus est hominibus multus?

Dic. Annon hæc placenta est hominibus dulcis?

Lam. Perfunde tu, puer, æreum clypei umbonem oleo. Video in clypeo imaginem senis, qui reus erit timiditatis.

Dic. Tu melle placentam perfunde. Hic quoque perspicua est senis imago, plorare jubentis Lamachum Gorgasium.

Digitized by Google

LAM. Fer huc, puer, loricam bellicam.

DIC. Loricam et mihi, puer, effer congium.

LAM. Hac ego adversum hostes pectus muniam.

DIC. Hoc ego adversum compotores pectus muniam.

LAM. Stragulis, puer, alliga clypeum: ego autem hanc sportam sumam et ipsemet mihi gestabo.

DIC. Cœnam, puer, alliga cistæ: ego autem hanc vestem sumam et abibo.

LAM. Clypeum tolle, puer, et ambula. Ningit. Papæ! hiberna hæc negotia.

DIC. Tolle cœnam. Convivalia hæc negotia.

CHOR. Ite jam læti in militiam. Quam dissimiles vias ingredimini! ille quidem bibet coronatus: tu autem algebis et excubias ages. Ille dormiet cum puella formosissima: tu vero penem tibi fricabis.

SEM. Antimachum illum Psacadis filium, historicum et poëtam, ut aperte dicam, male perdat Jupiter: qui me infelicem, festo Lenæorum choragus dimisit incœnatum. Quem utinam aliquando videam sepiæ comedendæ cupidum: et illa tosta, in fartagine stridens, cum sale in mensa jacens, in cœnaculum

Digitized by Google

Λα. φέρε δεῦρο, παῖ, θώρακα πολεμιστήριον.
Δι. ἔξαιρε, παῖ, θώρακα κἀμοὶ τὸν χοᾶ.
Λα. ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.
Δι. ἐν τῷδε πρὸς τοὺς ξυμπότας θωρήξομαι.
Λα. τὰ στρώματ', ὦ παῖ, δῆσον ἐκ τῆς ἀσπίδος·
ἐγὼ δ' ἐμαυτῷ τὸν γύλιον οἴσω λαβών.
Δι. τὸ δεῖπνον, ὦ παῖ, δῆσον ἐκ τῆς κίστιδος·
ἐγὼ δὲ θοιμάτιον λαβὼν ἐξέρχομαι.
Λα. τὴν ἀσπίδ' αἶρου, καὶ βάδιζ', ὦ παῖ, λαβών.
νίφει. βαβαιάξ· χειμέρια τὰ πράγματα.
Δι. αἶρου τὸ δεῖπνον· ξυμποτικὰ τὰ πράγματα.
Χο. ἴτε δὴ χαίροντες ἐπὶ στρατιάν.
ὡς ἀνομοίαν ἔρχεσθον ὁδόν.
τῷ μὲν πίνειν στεφανωσαμένῳ·
σοὶ δὲ ῥιγοῦν καὶ προφυλάττειν.
τῷδε καθεύδειν μετὰ παιδίσκης
ὡραιοτάτης·
σοὶ δ', ἀνατρίβειν γε τὸ δεῖνα.
Ημ. Ἀντίμαχον τὸν Ψακάδος
τὸν ξυγγραφῆ, τὸν μελέων ποιητὴν,
ὡς μὲν ἁπλῷ λόγῳ, κακῶς
ἐξολέσειεν ὁ Ζεύς·
ὅς γ' ἐμὲ τὸν τλήμονα, Λή-
ναια χορηγῶν, ἀπέλυσ' ἄδειπνον·
ὃν ποτέ γ' ἐπίδοιμι τευθίδος
δεόμενον· ἡ δ' ὠπτημένη
σίζουσα πάραλος, ἐπὶ τραπέζῃ κειμένη,
ὀκέλλοι· κᾆτα μέλ-

Digitized by Google

λοντος λαβεῖν αὐτοῦ, κύων
ἁρπάσασα φεύγοι.
Ημ. τοῦτο μὲν αὐτῷ κακὸν ἕν·
κᾆθ' ἕτερον νυκτερινὸν γένοιτο.
ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ
ἱππασίας βαδίζων,
εἶτα κατάξειέ τις αὐ-
τοῦ μεθύων τῆς κεφαλῆς Ὀρέστης
μαινόμενος· ὁ δ' αὖ, λίθον βαλεῖν
βουλόμενος, ἐν σκότῳ λάβοι
τῇ χειρὶ πέλεθον ἀρτίως κεχεσμένον·
ἐπάξειεν δ' ἔχων
τὸν μάρμαρον, κᾆπειθ' ἁμαρ-
τὼν βάλοι Κρατῖνον.

ΘΕΡΑΠΩΝ Λαμάχου, ΛΑΜΑΧΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.

Θε. Ω ΔΜΩΕΣ, οἳ κατ' οἶκον ἐστὲ Λαμάχου,
ὕδωρ, ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε·
ὀθόνια, κηρωτὴν παρασκευάζετε,
ἔρι' οἰσυπηρὰ, λαμπάδιον περὶ τὸ σφυρόν.
ἀνὴρ τέτρωται χάρακι, διαπηδῶν τάφρον,
καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισε,
καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσὼν,
καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
πρὸς ταῖς πέτραισι, δεινὸν ἐξηύδα μέλος·

Digitized by Google

appellat; deinde quum voluerit ille eam prehendere, canis rapiat et aufugiat.

Sem. Præter istud malum, aliud ei nocturnum eveniat: febricitans domum ex equitatione se recipiat: deinde ebrius quis Orestes furore percitus caput ei comminuat: ille autem lapidem in eum jacere volens in tenebris manu prehendat merdam recens cacatam, faciatque impetum tenens illiusmodi lapidem, tum aberrans scopo, feriat Cratinum.

FAMULUS LAMACHI, LAMACHUS, DICÆOPOLIS, CHORUS.

Fam. O servuli, qui estis in ædibus Lamachi, aquam, aquam in ollula calefacite, linteola, ceratum parate, lanam succidam, fasciam ligando malleolo pedis. Vir ille vulneratus est sude, dum transiliret fossam, et malleolus ipsi luxatus est, et caput fregit impingens lapidi; et Gorgonem e clypeo excitavit: quum autem terribilis illa pinna cecidisset ad petras, Lamachus hor-

Digitized by Google

rendum edidit carmen: *O inclytum lumen, nunc extremum te videns linquo lucem meam.* Tantum elocutus, in canalem lapsus, surgit, et in fugitivos quosdam incidit, prædones persequens et hasta premens. Sed eccum adest ipse: ocius aperi januam.

LAM. Attapattata! acerbos dolores et frigus, quibus crucior! Interii miser, hostili percussus lancea. Illud ergo lamentabile et ejulabile mihi esse possit; namque si me videat Dicæopolis vulneratum, illudet mihi, ridebitque meum infortunium.

DIC. Attalattata! Papillæ istæ quam duræ sunt, et similes cydoniis malis! date mihi savium, aureæ, et morsiunculas, et collabellate oscula. Nam congium primus exhausi.

LAM. O tristis casus meorum malorum! heu, heu, vulnera excruciantia!

DIC. Io, io, salve Lamache eques!

LAM. Ah me miserum!

DIC. Ah me ærumnosum!

LAM. Quid tu me blande compellas?

DIC. Quid tu me mordes?

Digitized by Google

Ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν,
λείπω φάος γε τοὐμὸν, οὐκέτ' εἴμ' ἐγώ.—
τοσαῦτα λέξας, εἰς ὑδρορρόαν πεσὼν,
ἀνίσταταί τε, καὶ ξυναντᾷ δραπέταις,
λῃστὰς ἐλαύνων, καὶ κατασπέρχων δορί.
ὁδὶ δὲ καὐτός· ἀλλ' ἄνοιγε τὴν θύραν.

Λα. ἀτταπατταταί.
στυγερὰ τάδε γε κρυερὰ πάθεα.
τάλας ἐγὼ διόλλυμαι,
δορὸς ὑπὸ πολεμίου τυπείς.
ἐκεῖνο δ' οὖν αἰακτὸν ἂν γ',
οἰμωκτὸν ἂν γένοιτό μοι.
Δικαιόπολις γὰρ, εἴ μ' ἴδοι τετρωμένον,
κατεγχάνοι γε ταῖς ἐμαῖσιν ἂν τύχαις,

Δι. ἀτταλατταταί.
τῶν τιτθίων, ὡς σκληρὰ καὶ κυδώνια.
φιλήσατόν με μαλθακῶς, ὦ χρυσίω,
τὸ περιπεταστὸν κἀπιμανδαλωτὸν αὖ.
τὸν γὰρ χοᾶ πρῶτος ἐκπέπωκα.

Λα. ὦ ξυμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
ἰὼ, ἰὼ
τραυμάτων ἐπωδύνων.

Δι. ἰὴ, ἰὴ,
ὦ χαῖρε Λαμαχίππιον.

Λα. στυγερὸς ἐγώ.

Δι. μογερὸς ἐγώ.

Λα. τί με σὺ κυνεῖς;

Δι. τί με σὺ δάκνεις;

Digitized by Google

Λα. τάλας ἐγὼ τῆς ἐν μάχῃ ξυμβολῆς βαρείας.
Δι. τοῖς Χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο;
Λα. ἰὼ ἰώ, Παιὰν, Παιάν.
Δι. ἀλλ' οὐχὶ νυνὶ τήμερον Παιώνια.
Λα. λάβεσθέ μου, λάβεσθε τοῦ σκέλους· παπαὶ,
προσλάβεσθ', ὦ φίλοι.
Δι. ἐμοῦ δέ γε σφὼ, τοῦ πέους ἄμφω μέσου,
προσλάβεσθ', ὦ φίλαι.
Λα. ἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος,
καὶ σκοτοδινιῶ.
Δι. κἀγὼ καθεύδειν βούλομαι, καὶ στύομαι,
καὶ σκοτοδινιῶ.
Λα. θύραζέ μ' ἐξενέγκατ' ἐς τὸν Πιττάλου,
παιωνίαισι χερσίν.
Δι. ὡς τοὺς κριτάς μ' ἐκφέρετε· ποῦ 'στιν ὁ βασιλεύς;
ἀπόδοτέ μοι τὸν ἀσκόν.
Λα. λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτή.
Δι. ὁρᾶτε τουτονὶ κενόν. ΤΗΝΕΛΛΑ ΚΑΛΛΙΝΙΚΟΣ.

Χορός.

ΤΗΝΕΛΛΑ δῆτ', εἴπερ καλεῖς, ὦ πρέσβυ, ΚΑΛ-
[ΛΙΝΙΚΟΣ.
Δι. καὶ πρός γ', ἄκρατον ἐγχέας, ἄμυστιν ἐξέλαψα.
Χο. ΤΗΝΕΛΛΑ νῦν, ὦ γεννάδα. χώρει λαβὼν τὸν ἀσκόν.
Δι. ἕπεσθε νῦν ᾄδοντες Ω ΤΗΝΕΛΛΑ ΚΑΛΛΙΝΙΚΟΣ.
Χο. ἀλλ' ἑψόμεσθα σὴν χάριν
Τήνελλα καλλίνικον ᾄ-
δοντές σε, καὶ τὸν ἀσκόν.

Digitized by Google

LAM. Miser ego propter duram in prælio symbolam!

DIC. Ergone hoc Choum festo symbolas quis exigebat?

LAM. Io io, Pæan, Pæan!

DIC. Sed non celebrantur hodie Pæonia.

LAM. Prehendite, prehendite meum crus. Papæ! tenete me, ô amici.

DIC. Vos autem meum penem ambæ medium prehendite, ô amicæ.

LAM. Vertigine laboro caput percussus lapide, et tenebræ mihi offunduntur.

DIC. At ego concumbere volo, quia tentigine rumpor, et in tenebris futuere gestio.

LAM. Foras efferte me in domum Pittali pæoniis manibus.

DIC. Ad judices me efferte. Ubi est Rex? date mihi utrem.

LAM. Infixa est meis ossibus dolorifica lancea.

DIC. Videte hunc congium vacuum. Io triumphe!

CHOR. Io triumphe ergo, quandoquidem tu vocas, ô senex!

DIC. Et insuper, meraciore infuso, uno spiritu exhausi.

CHOR. Io triumphe! ô generose, i, sumto utre.

DIC. Sequimini jam cantantes *Io triumphe*.

CHOR. Age sequemur tua causa, Io triumphe! cantantes te et utrem.

Digitized by Google

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΕΙΡΗΝΗ.

Digitized by Google

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΚΕΤΑΙ ΔΥΟ Τρυγαίου.

ΤΡΥΓΑΙΟΣ.

ΚΟΡΑΙ θυγατέρες Τρυγαίου.

ΕΡΜΗΣ.

ΠΟΛΕΜΟΣ.

ΚΥΔΟΙΜΟΣ.

ΧΟΡΟΣ Γεώργων Ἀθμονέων.

ΙΕΡΟΚΛΗΣ μάντις.

ΔΡΕΠΑΝΟΥΡΓΟΣ.

ΛΟΦΟΠΟΙΟΣ.

ΘΩΡΑΚΟΠΩΛΗΣ.

ΣΑΛΠΙΓΚΤΗΣ.

ΚΡΑΝΟΠΟΙΟΣ.

ΔΟΡΥΞΟΟΣ.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.

ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ.

Digitized by Google

ARISTOPHANIS

PAX.

FAMULI, TRYGÆUS, PUELLÆ, MERCURIUS, BELLUM, TUMULTUS, CHORUS.

FAM. I. FER, fer turundam quam citissime scarabæo.

FAM. II. Ecce.

FAM. I. Da perditissimo illi.

FAM. II. Atque utinam tu suaviorem hac nunquam turundam comedas!

FAM. I. Da offam aliam ex asinino formatam stercore.

FAM. II. Ecce autem rursus.

FAM. I. Ubi vero est, quam modo ferebas? annon devoravit eam?

FAM. II. Sane hercle. Quin ereptam glomeravit pedibus totamque deglutivit.

FAM. I. Sed quam primum tere multas et spissas.

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΕΙΡΗΝΗ.

ΟΙΚΕΤΑΙ ΔΥΟ, ΤΡΥΓΑΙΟΣ, ΚΟΡΑΙ, ΕΡΜΗΣ, ΠΟΛΕΜΟΣ, ΚΥΔΟΙΜΟΣ, ΧΟΡΟΣ.

Οι. α΄. ΑΙΡ', αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.
Οι. β΄. ἰδού.
Οι. α΄. δὸς αὐτῷ τῷ κάκιστ' ἀπολουμένῳ.
Οι. β΄. καὶ μήποτ' αὐτῆς μᾶζαν ἡδίω φάγοις.
Οι. α΄. δὸς μᾶζαν ἑτέραν ἐξ ὀνίδων πεπλασμένην.
Οι. β΄. ἰδοὺ μάλ' αὖθις.
Οι. α΄. ποῦ γὰρ, ἣν νῦν δὴ 'φερες;
οὐ κατέφαγεν;
Οι. β΄. μὰ τὸν Δί', ἀλλ' ἐξαρπάσας
ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.
Οι. α΄. ἀλλ' ὡς τάχιστα τρῖβε πολλὰς καὶ πυκνάς.

Digitized by Google

Οι. β'. ἄνδρες κοπρολόγοι, προσλάβεσθε, πρὸς θεῶν,
εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιϊδεῖν.
Οι. α'. ἑτέραν, ἑτέραν δὸς παιδὸς ἡταιρηκότος.
τετριμμένης γάρ φησιν ἐπιθυμεῖν.
Οι. β'. ἰδού.
ἑνὸς μὲν, ὦ 'νδρες, ἀπολελῦσθαί μοι δοκῶ.
οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.
Οι. α'. αἰβοῖ· φέρ' ἄλλην, χ' ἀτέραν μοι, χ' ἀτέραν,
καὶ τρῖβ' ἑτέρας γε.
Οι. β'. μὰ τὸν 'Απόλλω 'γὼ μὲν οὔκ.
οὐ γὰρ ἔθ' οἷός τ' εἴμ' ὑπερέχειν τῆς ἀντλίας.
αὐτήν γ' ἄρ' οἴσω προσλαβὼν τὴν ἀντλίαν.
Οι. α'. νὴ τὸν Δί' ἐς κόρακάς γε, καὶ σαυτόν γε πρός.
Οι. β'. ὑμῶν δέ γ', εἴ τις οἶδ', ἐμοὶ κατειπάτω,
πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον,
ἢ κανθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
ὗς μὲν γὰρ, ὥσπερ ἂν χέσῃ τις, ἢ κύων,
φαύλως ἐρείδει· τοῦτο δ' ὑπὸ φρονήματος
βρενθύεταί τε, καὶ φαγεῖν οὐκ ἀξιοῖ,
ἢν μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης,
ὥσπερ γυναικὶ, γογγύλην μεμαγμένην.
ἀλλ', εἰ πέπαυται τῆς ἐδωδῆς, σκέψομαι,
τηδὶ παροίξας τῆς θύρας, ἵνα μή μ' ἴδῃ.
ἔρειδε, μὴ παύσαιο μήποτ' ἐσθίων,
ἕως σεαυτὸν ἂν λάθῃς διαῤῥαγείς.
οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει,
ὥσπερ παλαιστὴς, παραβαλὼν τοὺς γομφίους·

Digitized by Google

Fam. II. Viri sterquilinilegi, ferte mihi opem, per deos obsecro, nisi vultis committere, ut præfocer.

Fam. I. Aliam, aliam da pueri cinædi: tritam enim cupere se autumat.

Fam. II. Ecce. Unam quidem, ô viri, suspicionem a me segregaturus mihi videor. Nemo enim dixerit me inter pinsendum mazam comedere.

Fam. I. Phui! fer aliam, et aliam, et aliam; aliasque præterea tere.

Fam. II. Haud equidem hercle. Non enim amplius queo sentinam hanc perpeti: ipsam itaque una cum scarabæo sumam et intro auferam.

Fam. I. Ita edepol in malam rem, et te ipsum insuper.

Fam. II. Vestrûm autem, si quis novit, dicat mihi, unde emere possim nasum non perforatum. Nullum enim opus ærumnosius est, quam scarabæo pinsentem cibum præbere. Nam sus aut canis, ita ut cacaveris, facile et celeriter vorat: iste autem præ superbia fastidit, et comedere non dignatur, nisi toto die teram, eique adponam, tanquam mulieri, turundam subactam. Sed an desierit edere, speculabor, forem pauxillum sic aperiens, ne me videat. Incumbe, ne desinas unquam

Digitized by Google

edere, usquedum imprudens disrumparis. En, ut pronus vorat execrabilis ille, tanquam luctator, maxillas contorquens; caput interea manusque quodammodo circumducens, ut ii qui crassos rudentes in naves onerarias convolvunt. Res immunda et fœtida et vorax est iste scarabæus. Nec cujusnam deorum sit hoc peculium scio: haud sane Veneris mihi videtur esse nec Gratiarum.

Fam. I. Cujus ergo est?

Fam. II. Haud fieri potest, quin sit hoc signum Jovis Fulgeratoris.

Fam. I. Jam igitur spectatorum aliquis dicat, juvenis forsan opinione sua sapiens: *Quid hoc rei est? Quorsum pertinet iste scarabæus?* Deinde ipsi vir Ionicus aliquis adsidens dicat: *Ad Cleonem, ni fallor animi, pertinet hoc; nam ille impudenter merdam comedit.* Sed domum ingressus scarabæo dabo bibere.

Fam. II. At ego hujus rei rationem pueris, et adolescentibus, et viris, illisque qui viros ætate superant, edisseram, illisque etiam qui ultra communem virorum sortem, longiorem vitæ capiunt usuram. Herus meus novum insanit in modum, non quo vos, sed alio plane novo. Per totum enim diem cœlum suspiciens hiante ore sic increpat Jovem, aitque: O Jupiter, quid vis facere? depone scopas: ne verre Græciam—

Tryg. Eheu! eheu!

Digitized by Google

καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως
ὡδὶ περιάγων, ὥσπερ οἱ τὰ σχοινία
τὰ παχέα συμβάλλοντες εἰς τὰς ὁλκάδας.
μιαρὸν τὸ χρῆμα, καὶ κάκοσμον, καὶ βορόν.
χὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ,
οὐκ οἶδ'. Ἀφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται,
οὐ μὴν Χαρίτων γε.

Οι. α'. τοῦ γ' ἄρ' ἔστ';

Οι. β'. οὐκ ἔσθ' ὅπως
τοῦτ' ἔστι τὸ τέρας οὐ Διὸς καταιβάτου.

Οι. α'. οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
νεανίας δοκησίσοφος· Τόδε πρᾶγμα τί;
ὁ κάνθαρος δὲ πρὸς τί;—κᾆτ' αὐτῷ γ' ἀνὴρ
Ἰωνικός τις φησὶ παρακαθήμενος·
Δοκέω μὲν, ἐς Κλέωνα τοῦτ' αἰνίττεται,
ὡς κεῖνος ἀναιδῶς τὴν σπατίλην ἐσθίει.—
ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.

Οι. β'. ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις,
καὶ τοῖσιν ἀνδρίοισι, καὶ τοῖς ἀνδράσι,
καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω,
καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
οὐχ ὅνπερ ὑμεῖς, ἀλλ' ἕτερον καινὸν πάνυ.
δι' ἡμέρας γὰρ ἐς τὸν οὐρανὸν βλέπων,
ὡδὶ κεχηνὼς λοιδορεῖται τῷ Διῒ,
καὶ φησίν· Ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;
κατάθου τὸ κόρημα· μὴ 'κκόρει τὴν Ἑλλάδα.—

Τρ. ἔα, ἔα.

Digitized by Google

Οι. β'. σιγήσαθ', ὡς φωνῆς ἀκούειν μοι δοκῶ.
Τρ. ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῶν τὸν λεών;
λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας.
Οι. β'. τοῦτ' ἔστι δῆτα τὸ κακὸν αὔθ' οὑγὼ 'λεγον.
τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε·
ἃ δ' εἶπε πρῶτον, ἡνίκ' ἤρχεθ' ἡ χολή,
πεύσεσθ'. ἔφασκε γὰρ πρὸς αὑτὸν ἐνθαδί·
Πῶς ἄν ποτ' ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός;
ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος,
πρὸς ταῦτ' ἀνεῤῥιχᾶτ' ἂν ἐς τὸν οὐρανόν,
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταῤῥυείς.
ἐχθὲς δὲ μετὰ ταῦτ' ἐκφθαρεὶς οὐκ οἶδ' ὅποι,
εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον·
κἄπειτα τοῦτον ἱπποκομεῖν μ' ἠνάγκασε.
καὐτὸς καταψῶν αὐτόν, ὥσπερ πωλίον,
Ὦ Πηγάσιόν μοι, φησί, γενναῖον πτερόν,
ὅπως πετήσει μ' εὐθὺ τοῦ Διὸς λαβών.—
ἀλλ' ὅ τι ποιεῖ, τηδὶ διακύψας ὄψομαι.
οἴμοι τάλας· ἴτε δεῦρο, δεῦρ', ὦ γείτονες.
ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
ἱππηδὸν εἰς τὸν ἀέρ', ἐπὶ τοῦ κανθάρου.
Τρ. ἥσυχος, ἥσυχος, ἠρέμα, κάνθων·
μή μοι σοβαρῶς χώρει λίαν,
εὐθὺς ἀπ' ἀρχῆς ῥώμῃ πίσυνος,
πρὶν ἂν ἰδίῃς, καὶ διαλύσῃς
ἄρθρων ἶνας πτερύγων ῥύμῃ.
καὶ μὴ πνεῖ μοι κακόν, ἀντιβολῶ σ'·
εἰ δὲ ποιήσεις τοῦτο, κατ' οἴκους

Digitized by Google

Fam. II. Silete: nam ejus vocem audire mihi videor.

Tryg. O Jupiter, quid demum facere nostro populo cogitas? on animadvertis te urbes nostras exhaurire?

Fam. II. Hoc nimirum illud malum est, quod dicebam: am specimen insaniæ ejus auditis. Quæ autem statim ab iitio dixit, quando eum cœpit agitare bilis, audietis. Secum nim hoc in loco ita loquebatur: *Utinam possem recta via ad Jovem pergere!* Deinde tenuibus scalulis fabricatis, eas concendebat, pedibusque et manibus nitens, in cœlum conabatur candere, donec præcipiti casu cervices defregit sibi. Postea ieri, quum se proruisset, nescio quorsum, foras, domum reversus est cum Ætneo maximo scarabæo, et deinde me ejus equionem esse coëgit. Atque ipse demulcens eum, tanquam ullum equinum, *O Pegasule mi,* inquit, *generose ales, fac ut ne vehens ad Jovem recta voles.* Sed quid agat, spectabo, sic er clathros exserens caput. Hei mihi misero! adeste huc, deste, ô vicini: herus enim meus sublimis tollitur in aërem, carabæo, tanquam equo, insidens.

Tryg. Placidus, placidus, sensim, ô scarabæe, ne mihi feociter nimis incede, statim a principio robore fretus, priusquam udaveris, et solveris artuum nervos alarum motu vehementi; t ne spira mihi tetrum odorem, obsecro te: sin istuc facturus s, hic potius maneas nostris in ædibus.

Digitized by Google

Fam. II. O here, mi domine, ut deliras!

Tryg. Sile, sile.

Fam. II. Quorsum, quæso, sublimis volitas temere?

Tryg. Græcorum omnium causa volito, audax molitus insolensque facinus.

Fam. II. Quid volitas? quid frustra insanis?

Tryg. Ore favere decet, et nihil mali omnino mutire, sed bona verba dicere: hominibusque dic ut sileant, atque ut fimeta et cloacas novis lateribus instaurent, podicesque claudant.

Fam. II. Nullo pacto a me impetrabis ut sileam, nisi mihi dixeris, quorsum volare cogitas.

Tryg. Quorsum, nisi ad Jovem in cœlum?

Fam. II. Qua mente?

Tryg. Interrogaturus eum quid de Græcis universis facere constitutum habeat.

Fam. II. Si autem id tibi non declararit?

Tryg. Scribam ei dicam, ut qui prodat Græciam Persis.

Fam. II. Nunquam, ita me Bacchus amet, hoc me vivo facies.

Tryg. Fieri aliter nequit.

Fam. II. Iu, iu, iu! O puellæ, deserit vos solas pater, in cœlum proficiscens clanculum. Sed orate patrem, ô miseræ.

Digitized by Google

αὐτοῦ μεῖνον τοὺς ἡμετέρους.

Οι. β'. ὦ δέσποτ' αναξ, ὡς παραπαίεις.

Τρ. σίγα, σίγα.

Οι. β'. ποῖ δῆτ' ἄλλως μετεωροκοπεῖς;

Τρ. ὑπὲρ Ἑλλήνων πάντων πέτομαι,
τόλμημα νέον παλαμησάμενος.

Οι. β'. τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις;

Τρ. εὐφημεῖν χρὴ, καὶ μὴ φλαῦρον
μηδὲν γρύζειν, ἀλλ' ὀλολύζειν·
τοῖς τ' ἀνθρώποισι φράσον σιγᾷν,
τούς τε κοπρῶνας καὶ τὰς λαύρας
καιναῖς πλίνθοισιν ἀνοικοδομεῖν,
καὶ τοὺς πρωκτοὺς ἐπικλείειν.

Οι. β'. οὐκ ἔσθ' ὅπως σιγήσομ', ἢν μή μοι φράσῃς,
ὅποι πέτεσθαι διανοεῖ.

Τρ. τί δ' ἄλλο γ', ἢ
ὡς τὸν Δί' ἐς τὸν οὐρανόν;

Οι. β'. τίνα νοῦν ἔχων;

Τρ. ἐρησόμενος ἐκεῖνον, Ἑλλήνων πέρι
ἁπαξαπάντων ὅ τι ποιεῖν βουλεύεται.

Οι. β'. ἐὰν δὲ μή σοι καταγορεύσῃ;

Τρ. γράψομαι
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.

Οι. β'. μὰ τὸν Διόνυσον, οὐδέποτε ζῶντός γ' ἐμοῦ.

Τρ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλ'.

Οι. β'. ἰοὺ, ἰοὺ, ἰού·
ὦ παιδί', ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
ὑμᾶς ἐρήμους εἰς τὸν οὐρανὸν λάθρα.

Digitized by Google

ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ', ὦ κακοδαίμονα.

Κο. ὦ πάτερ, ὦ πάτερ, ἆρ' ἔτυμός γε
δώμασιν ἡμετέροις φάτις ἥκει,
ὡς σὺ μετ' ὀρνίθων, προλιπὼν ἐμὲ,
ἐς κόρακας βαδιεῖ μεταμώνιος;
ἔστι τι τῶνδ' ἐτύμως; εἴπ', ὦ πάτερ, εἴτι φιλεῖς με.

Τρ. δοξάσαι ἔστι, κόραι· τὸ δ' ἐτήτυμον, ἄχθομαι ὑμῖν,
ἡνίκ' ἂν αἰτίζητ' ἄρτον, πάππαν με καλοῦσαι,
ἔνδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
ἢν δ' ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ
κολλύραν μεγάλην, καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.

Κο. καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται;
ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.

Τρ. πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.

Κο. τίς δ' ἡ 'πίνοια σοῦ 'στιν, ὥστε κάνθαρον
ζευξάμενον ἐλαύνειν εἰς θεοὺς, ὦ παππία;

Τρ. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη
μόνος πετεινῶν ἐς θεοὺς ἀφιγμένος.

Κο. ἄπιστον εἶπας μῦθον, ὦ πάτερ, πάτερ,
ὅπως κάκοσμον ζῶον ἦλθεν εἰς θεούς.

Τρ. ἦλθεν κατ' ἔχθραν αἰετοῦ πάλαι ποτὲ,
ᾤ' ἐκκυλίνδων, κἀντιτιμωρούμενος.

Κο. οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερὸν,
ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.

Τρ. ἀλλ', ὦ μέλε, ἄν μοι σιτίων διπλῶν ἔδει.
νῦν δ' ἅττ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.

Κο. τί δ', ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;

Digitized by Google

PUEL. O pater, ô pater, ergone vera ædibus nostris famâ venit, te cum avibus, me deserentem, ad corvos iturum evanidum? Estne aliquid horum revera? Dic, ô pater, si me amas.

TRYG. Arbitrari licet, ô filiæ; illud autem est certissimum, dolore me premi, quando vos panem petitis, *pappam* me vocitantes, domi autem ne gutta quidem argenti est omnino. Si autem re bene gesta rediero, habebitis mature semper collyram magnam, et cum ea pugnum obsoni loco.

PUEL. Ecqua tibi erit itineris conficiendi ratio? navis enim te non vehet viam hanc.

TRYG. Alatus vehet me pullus: haud navigabo.

PUEL. Quæ vero mens tua est, qui scarabæo juncto veharis ad deos, ô pater?

TRYG. In Æsopi fabulis invenitur, ut solus ille omnium volucrum ad deos pervenerit.

PUEL. Incredibilem memoras fabulam, ô pater, pater, ut olens bestia ad deos venerit.

TRYG. Venit propter inimicitias quas olim cum aquilâ gerebat, ut ejus ova in præceps devolveret, sicque eam ulcisceretur.

PUEL. Quidni ergo aligerum jungebas Pegasum, ut diis videreris magis tragicus.

TRYG. At, ô misella, duplici commeatu mihi opus fuisset: nunc autem quos ipsus comedero cibos, iisdem hunc alam.

PUEL. Quid si in profundas ceciderit maris undas, quomodo emergere poterit, volucris quum siet?

Digitized by Google

Tryg. Data opera clavum habeo, quo utar: navis autem mihi erit Naxi fabricatus cantharus.

Puel. Quis autem te portus fluctu delatum excipiet?

Tryg. Nimirum in Piræeo est Canthari portus.

Puel. Illud provide ne impingas, et illinc delabaris; deinde claudus Euripidi argumentum præbeas, et trægœdia fias.

Tryg. Mihi quidem hæc curæ erunt: sed valete. Vos vero, quorum gratia istos labores tolero, ne visite, neu cacate cis tres dies. Nam si olfecerit in sublime elatus iste, præcipitem me dabit et spe dejiciet. Sed age, Pegase, lætus incede, aurato freno strepitum excita, micans auribus. Quid agis, quid agis? quo detorques nares ad cloacas? tolle te ipsum audacter a terra, et deinde pernices alas pandens, recta perge ad Jovis aulam a merda nasum abstinens, et a quotidianis cibis omnibus. Heus tu homo, quid facis, tu, inquam, qui cacas in Piræeo ad lupanar? perdes me, perdes: nonne defodies, et super ingeres terræ quam plurimum, summoque in tumulo plantabis serpillum, et un-

Digitized by Google

πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται;
Τρ. ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι·
τὸ δὲ πλοῖον ἔσται Ναξιουργὴς κάνθαρος.
Κο. λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
Τρ. ἐν Πειραεῖ δήπου 'στὶ Κανθάρου λιμήν.
Κο. ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταῤῥυῇς
ἐντεῦθεν· εἶτα χωλὸς ὢν, Εὐριπίδῃ
λόγον παράσχῃς, καὶ τραγῳδία γένῃ.
Τρ. ἐμοὶ μελήσει ταῦτά γ'· ἀλλὰ χαίρετε.
ὑμεῖς δέ γ', ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πονῶ,
μὴ βδεῖτε, μηδὲ χέζεθ' ἡμερῶν τριῶν·
ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
κατωκάρα ῥίψας με βουκολήσεται.
ἀλλ' ἄγε, Πήγασε, χώρει χαίρων,
χρυσοχάλινον πάταγον ψαλίων
διακινήσας φαιδροῖς ὠσίν.
τί ποιεῖς; τί ποιεῖς; ποῖ παρακλίνεις
τοὺς μυκτῆρας πρὸς τὰς λαύρας;
ἵει σαυτὸν θαῤῥῶν ἀπὸ γῆς,
κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων,
ὀρθῶς χώρει Διὸς εἰς αὐλὰς,
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
ἀπὸ θ' ἡμερινῶν σίτων πάντων.
ἄνθρωπε, τί δρᾷς, οὗτος ὁ χέζων
ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις;
ἀπολεῖς μ', ἀπολεῖς. οὐ κατορύξεις,
κἀπιφορήσεις τῆς γῆς πολλὴν,
κἀπιφυτεύσεις ἕρπυλλον ἄνω,

Digitized by Google

καὶ μύρον ἐπιχεῖς; ὡς ἤν τι πεσὼν
ἐνθένδε πάθω, τοῦ 'μοῦ θανάτου
πέντε τάλανθ' ἡ πόλις ἡ Χίων
διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει.
οἴμ', ὡς δέδοικα, κοὐκέτι σκώπτων λέγω.
ὦ μηχανοποιὲ, πρόσεχε τὸν νοῦν ὡς ἐμέ.
ἤδη στροφεῖ τι πνεῦμα περὶ τὸν ὀμφαλόν.
κεἰ μὴ φυλάξεις, χορτάσω τὸν κάνθαρον.
ἀλλ' ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ·
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός.
τίς ἐν Διὸς θύραισιν; οὐκ ἀνοίξετε;
Ερ. πόθεν βροτῶ με προσέβαλ'; ὦ 'ναξ Ἡράκλεις,
τουτὶ τί ἐστι τὸ κακόν;
Τρ. ἱπποκάνθαρος.
Ερ. ὦ μιαρὲ, καὶ τολμηρὲ, κἀναίσχυντε σὺ,
καὶ μιαρὲ, καὶ παμμίαρε, καὶ μιαρώτατε·
πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε;
τί σοί ποτ' ἐστὶ τοὔνομ'; οὐκ ἐρεῖς;
Τρ. μιαρώτατος.
Ερ. ποδαπὸς τὸ γένος εἶ; φράζε μοι.
Τρ. μιαρώτατος.
Ερ. πατὴρ δέ σοι τίς ἐστιν;
Τρ. ἐμοί; μιαρώτατος.
Ερ. οὔ τοι, μὰ τὴν γῆν, ἔσθ' ὅπως οὐκ ἀποθανεῖ,
εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅ τι ποτ' ἐστί σοι.
Τρ. Τρυγαῖος Ἀθμονεὺς, ἀμπελουργὸς δεξιὸς,
οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμάτων.
Ερ. ἥκεις δὲ κατὰ τί;

Digitized by Google

guentum infundes? nam si hinc delapso gravius mihi quid acciderit, mortis meæ pœnas dabit Chiorum civitas, quinque talentis multata propter tuum culum. Hei mihi! ut paveo! nec amplius joco hoc dico. O machinarie, adverte animum ad me: jam torquet se mihi flatus aliquis circa umbilicum, et, nisi cautionem adhibeas, scarabæo saginam dabo. Sed prope a diis esse me puto, atque jam perspicio Jovis ædem. Ecquis tutelam Jovis januæ gerit? nonne aperietis?

Merc. Unde vocis humanæ ad me accidit sonus? O dive Hercules! quid hoc mali est?

Tryg. Hippocantharus.

Merc. O impure tu et audax et impudens, et impure, et nimium impure, et impurissime, quomodo huc ascendisti, ô impurorum impurissime? quodnam est nomen tibi? nonne dices?

Tryg. Impurissimus.

Merc. Cujas es? dic mihi.

Tryg. Impurissimus.

Merc. Pater tibi quis est?

Tryg. Mihine? impurissimus.

Merc. Haud causam dices, per Tellurem juro, quin moriaris illico, nisi profitearis mihi quid tandem sit nominis tibi.

Tryg. Trygæus Athmonensis, vinitor probus, non sycophanta, nec litium amans.

Merc. Quamobrem vero venisti?

Digitized by Google

TRYG. Ut carnes hasce tibi ferrem.

MERC. O miselle, satin' salvus venis?

TRYG. O gulose, viden' ut jam tibi non videor esse impurissimus? age nunc voca sis mihi Jovem.

MERC. Eheu, eheu, eheu! quod ne tantam quidem emensus viam prope ad deos accessurus es. Absunt enim, ut qui heri emigrarint.

TRYG. Quo terrarum?

MERC. Perii! *terrarum* ais?

TRYG. Quorsum ergo?

MERC. Perquam procul, in penitissimum abditissimumque cœli recessum.

TRYG. Quomodo ergo tu hic solus es relictus?

MERC. Deorum adservo reliqua vascula, ollulas, tabellas et amphorulas.

TRYG. Sed quapropter emigrarunt dii?

MERC. Quia Græcis irati sunt: ideo quem ipsi antea obtinebant locum, eum Bello incolendum dederunt, eique permiserunt, ut vos tractet plane arbitratu suo. Ipsi autem sursum quam longissime migrarunt, ut ne viderent vos amplius præliantes, nec supplicantes sibi prorsus sentirent.

TRYG. Sed cur nobiscum ita agi voluerunt? dic mihi.

MERC. Quia belligerare malebatis, pacem illis sæpe conciliantibus. Atque si quando Lacones essent superiores, ipsorum hæc fere erant verba: *Nunc, ita me Castores ament, Atticus*

Digitized by Google

Τρ. τὰ κρέα ταυτί σοι φέρων.
Ερ. ὦ δειλακρίων, πῶς ἦλθες;
Τρ. ὦ γλίσχρων, ὁρᾷς
ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος.
ἴθι νῦν, κάλεσόν μοι τὸν Δί'.
Ερ. ἰὴ, ἰὴ, ἰὴ,
ὅτι οὐδὲ μέλλεις ἐγγὺς ἰέναι τῶν θεῶν.
φροῦδοι γάρ εἰσιν ἐχθὲς ἐξῳκισμένοι.
Τρ. ποῖ γῆς;
Ερ. ἰδοὺ γῆς.
Τρ. ἀλλὰ ποῖ;
Ερ. πόῤῥω πάνυ,
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
Τρ. πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;
Ερ. τὰ λοιπὰ τηρῶ σκευάρια τὰ τῶν θεῶν,
χυτρίδια, καὶ σανίδια, κἀμφορείδια.
Τρ. ἐξῳκίσαντο δ' οἱ θεοὶ τίνος οὕνεκα;
Ερ. Ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μὲν,
ἵν' ἦσαν αὐτοὶ, τὸν Πόλεμον κατῴκισαν,
ὑμᾶς παραδόντες δρᾷν ἀτεχνῶς ὅ τι βούλεται·
αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω,
ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι,
μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο.
Τρ. τοῦ δ' οὕνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν; εἰπ' ἐμοί.
Ερ. ὅτι πολεμεῖν ᾑρεῖσθ', ἐκείνων πολλάκις
σπονδὰς ποιούντων· κεἰ μὲν οἱ Λακωνικοὶ
ὑπερβάλοιντο μικρὸν, ἔλεγον ἂν ταδί.
Ναὶ τὼ σιὼ, νῦν 'Αττικίων δώσει δίκην.—

εἰ δ' αὖ τι πράξαιντ' ἀγαθὸν 'Αττικωνικοὶ,
κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι,
ἐλέγετ' ἂν ὑμεῖς εὐθύς· 'Εξαπατώμεθα,
νὴ τὴν 'Αθηνᾶν· νὴ Δί', οὐχὶ πειστέον·
ἥξουσι καὖθις, ἣν ἔχωμεν τὴν Πύλον.---

Τρ. ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων.

Ερ. ὧν οὕνεκ' οὐκ οἶδ', εἴ ποτ' Εἰρήνην ἔτι
τολοιπὸν ὄψεσθ'.

Τρ. ἀλλὰ ποῖ γὰρ οἴχεται;

Ερ. ὁ Πόλεμος αὐτὴν ἐνέβαλ' εἰς ἄντρον βαθύ.

Τρ. ἐς ποῖον;

Ερ. ἐς τουτὶ τὸ κάτω. κἄπειθ' ὁρᾷς
ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν;

Τρ. εἶπ' ἐμοὶ,
ἡμᾶς δὲ δὴ τί δρᾷν παρασκευάζεται;

Ερ. οὐκ οἶδα, πλὴν ἓν, ὅτι θυείαν ἑσπέρας
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.

Τρ. τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται;

Ερ. τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
ἀλλ' εἶμι. καὶ γὰρ ἐξιέναι, γνώμην ἐμὴν,
μέλλει· θορυβεῖ γοῦν ἔνδον.

Τρ. οἴμοι δείλαιος·
φέρ', αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥσπερ ᾐσθόμην
καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.

Πο. ἰὼ βροτοὶ, βροτοὶ, βροτοὶ πολυτλήμονες·
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε.

Τρ. ὦ 'ναξ 'Απολλον, τῆς θυείας τοῦ πλάτους.

Digitized by Google

pœnas dabit. Contra si Athenienses meliuscule rem gessissent, venirentque Lacones de pace agentes, vos illico solebatis dicere: *Officiis nobis os sublinitur, ita me servet Minerva: Per Jovem minime mos eis gerendus est: venient denuo, si Pylum habeamus.*

TRYG. Est illa quidem sermonis nostri genuina forma.

MERC. Quamobrem nescio an Pacem unquam sitis visuri.

TRYG. Quorsum ergo abiit?

MERC. Bellum eam injecit in antrum profundum.

TRYG. In quodnam?

MERC. In istud infimum. Deinde viden' quam multos superingesserit lapides, ut eam nunquam prehendatis?

TRYG. Dic mihi, quidnam ergo mali jam nobis parat?

MERC. Nescio, nisi unum hoc, eum vesperi mortarium immanis magnitudinis intulisse.

TRYG. Quorsum, quæso, isto mortario utetur?

MERC. Contundere in eo urbes cogitat. Sed ibo; etenim, ut opinor, exiturus est: tumultuatur utique intus.

TRYG. Hei misero mihi! age effugiam ipsum: namque sensi quasi mortari bellici sonitum ipse etiam.

BEL. Io mortales, mortales, mortales ærumnosi, quam valde actutum maxillis dolebitis!

TRYG. O dive Apollo, quanta mortari amplitudo! quantum

Digitized by Google

autem malum est solus belli adspectus! An iste est ille quem fugimus, ille truculentes, ille durus, ille divaricatis cruribus firmans gradum?

BEL. Io Prasiæ termiseræ, et quinquies, et decies iterum iterumque, ut peribitis hodie!

TRYG. Istud quidem, ô viri, nihil adhuc ad nos pertinet: malum enim hocce est Laconicæ.

BEL. Io Megara, Megara, ut actutum contereminí, universa in moretum intrita.

TRYG. Papæ, papæ! quam magnos et acerbos Megarensibus injecit fletus!

BEL. Io Sicilia, ut peris tu etiam! Qualis civitas comminuetur misera! age infundam et mel hocce Atticum.

TRYG. Heus tu, auctor sum tibi, ut alio utaris melle. Quatuor obolis hoc venit: parce Attico.

BEL. Puer, puer Tumultus.

TUM. Quid me vocas?

BEL. Male plorabis. Stasne otiosus? nescis enim pugnum istum, ut sit acerbus.

TUM. Hei mihi misero! mi here, num allia indidisti in pugnum?

BEL. Afferesne pistillum curriculo?

TUM. At, ô bone, non est nobis: heri huc commigravimus.

BEL. Nonne vero ad Athenienses curres petitum cursim?

TUM. Curram equidem hercle; sin minus, plorabo.

Digitized by Google

ὅσον κακὸν δὴ τοῦ Πολέμου καὶ βλέμματος.
ἆρ' οὗτος ἔστ' ἐκεῖνος, ὃν καὶ φεύγομεν,
ὁ δεινὸς, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;

Πο. ἰὼ Πρασιαὶ τρισάθλιαι, καὶ πεντάκις,
καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον.

Τρ. τουτὶ μὲν, ἄνδρες, οὐδὲν ἡμῖν πρᾶγμά πω.
τὸ γὰρ κακὸν τοῦτ' ἔστι τῆς Λακωνικῆς.

Πο. ἰὼ Μέγαρα, Μέγαρ', ὡς ἐπιτρίψεσθ' αὐτίκα,
ἁπαξάπαντα καταμεμυττωτευμένα.

Τρ. βαβαὶ, βαβαιάξ· ὡς μεγάλα καὶ δριμέα
τοῖσι Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα.

Πο. ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι.
οἷα πόλις τάλαινα διακναισθήσεται.
φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.

Τρ. οὗτος, παραινῶ σοι μέλιτι χρῆσθαι 'τέρῳ.
τετρώβολον τοῦτ' ἔστι· φείδου τἀττικοῦ.

Πο. παῖ, παῖ Κυδοιμέ,

Κυ. τί με καλεῖς;

Πο. κλαύσει μακρά.
ἕστηκας ἀργός; οὑτοσὶ γὰρ κόνδυλος
ὡς δριμύς.

Κυ. οἴμοι μοι τάλας· ὦ δέσποτα,
μῶν τῶν σκορόδων ἐνέβαλες εἰς τὸν κόνδυλον;

Πο. οἴσεις ἀλετρίβανον τρέχων;

Κυ. ἀλλ', ὦ μέλε,
οὐκ ἔστιν ἡμῖν. ἐχθὲς εἰσῳκίσμεθα.

Πο. οὔκουν παρ' Ἀθηναίους σὺ μεταθρέξει ταχύ;

Κυ. ἔγωγε νὴ Δί'· εἰ δὲ μή γε, κλαύσομαι.

Digitized by Google

Τρ. ἄγε δή, τί δρῶμεν, ὦ πόνηρ' ἄνθρωπια;
ὁρᾶτε τὸν κίνδυνον ἡμῖν ὡς μέγας.
εἴπερ γὰρ ἥξει γε τὸν ἀλετρίβανον φέρων,
τούτῳ ταράξει τὰς πόλεις καθήμενος.
ἀλλ', ὦ Διόνυσ', ἀπόλοιτο, καὶ μὴ 'λθοι φέρων.
Πο. οὗτος---
Κυ. τί ἐστιν;
Πο. οὐ φέρεις;
Κυ. τὸ δεῖνα γάρ,
ἀπόλωλ' Ἀθηναίοις ἀλετρίβανος, ὁρᾷς,
ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα.
Τρ. εὖ γ', ὦ πότνια δέσποιν' Ἀθηναία, ποιῶν
ἀπόλωλ' ἐκεῖνος, κἀν δέοντι τῇ πόλει,
ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.
Πο. οὔκουν ἕτερον δῆτ' ἐκ Λακεδαίμονος μέτει,
ἀνύσας τι;
Κυ. ταῦτ', ὦ δέσποθ'.
Πο. ἧκε νῦν ταχύ.
Τρ. ὦνδρες, τί πεισόμεσθα; νῦν ἀγὼν μέγας.
ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθράκῃ τυγχάνει
μεμυημένος, νῦν ἐστὶν εὔξασθαι καλὸν,
ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.
Κυ. οἴμοι τάλας· οἴμοι γε, κᾆτ' οἴμοι μάλα.
Πο. τί ἐστι; μῶν οὐκ αὖ φέρεις;
Κυ. ἀπόλωλε γὰρ
καὶ τοῖς Λακεδαιμονίοισι κακὸς ἀλετρίβανος.
Πο. πῶς, ὦ πανοῦργ';
Κυ. ἐς τἀπὶ Θρᾴκης χωρία.

Digitized by Google

Tryg. Agite, quæso, quid faciemus, ô miseri homunciones? videte quam magno versemur in periculo. Quippe si pistillum ferens venerit, isto contundet urbes otiose. Sed, ô Bacche, pereat, nec reversus ferat!

Bel. Eho tu.

Tum. Quid est?

Bel. Non affers?

Tum. Qui, malum, afferam? Periit Atheniensibus, vides, pistillum, coriarius, inquam, ille, qui turbabat Græciam.

Tryg. Bene sane, ô veneranda domina Minerva, factum est, quod periit ille, et quidem opportuno reipublicæ tempore, antequam moretum nobis infunderet.

Bel. Non igitur aliud ex Lacedæmone arcessere properabis?

Tum. Hoc ago, here.

Bel. Cito ergo redi.

Tryg. O viri, quid nobis fiet? nunc in summo res est discrimine. Sed si quis forte vestrûm in Samothracia est initiatus, nunc precari decet, ut qui pistillum arcessit, illius distorqueantur pedes.

Tum. Hei mihi misero, hei mihi iterum, iterumque hei mihi!

Bel. Quid est? num non fers nunc etiam?

Tum. Periit enim et Lacedæmoniis pessimum illud pistillum.

Bel. Quomodo, sceleste?

Tum. In Thraciam utendum aliis quum dedissent illud, perdiderunt.

Digitized by Google

Tryg. Bene, bene factum, ô Dioscuri! forte bene erit: habete bonum animum, mortales.

Bel. Cape rursus hæc vasa, eaque intro aufer: ego vero ingressus pistillum faciam.

Tryg. Nunc hoc ipsum Datidis carnem iterare commodum est, quod ille cantabat aliquando masturbans meridie: *Quam lætor, quam delector, quam gaudeor!* Nunc nobis, ô Græci, tempus se dat opportunum, ut soluti litibus et præliis extrahamus Pacem omnibus caram, antequam rursus aliud quoddam pistillum impedimento sit. Sed, ô agricolæ, et mercatores, et fabri, et opifices, et inquilini, et hospites, et insulani, huc adeste omnes populi, sumtis quamprimum ligonibus et vectibus et restibus. Nunc enim arripere licet Boni Geni poculum.

Chor. Huc accedat quisque strenue ad salutem recta. O Græci, quotquot estis, succurramus, si unquam alias, soluti bellicis aciebus et malis cruentificis. Dies enim illuxit hæc inimica Lamacho. Proinde, si quid est opus facto, dic nobis et impera, quasi architectus aliquis. Non enim potis est ut defatisci hodie mihi videar, priusquam vectibus et machinis in lucem protraxerim illam dearum omnium maximam et vitium amantissimam.

Tryg. Nonne silebitis, ne nimium lætabundi hoc negotio Bellum excitetis intus vestris clamoribus.

Chor. At nos lætamur, audito isto de extrahenda Pace

Digitized by Google

χρήσαντες ἑτέροις αὐτὸν, εἶτ' ἀπώλεσαν.
Τρ. εὖ γ', εὖ γε ποιήσαντες, ὦ Διοσκόρω.
ἴσως ἂν εὖ γένοιτο· θαῤῥεῖτ', ὦ βροτοί.
Πο. ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν·
ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.
Τρ. νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος,
ὃ δεφόμενός ποτ' ᾖδε τῆς μεσημβρίας·
ΩΣ ΗΔΟΜΑΙ, ΚΑΙ ΤΕΡΠΟΜΑΙ, ΚΑΙ ΧΑΙΡΟΜΑΙ.
νῦν ἐστὶν ἡμῖν, ὦ 'νδρες Ἕλληνες, καλὸν
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν,
ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην,
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαι τινά.
ἀλλ', ὦ γεωργοὶ, κἄμποροι, καὶ τέκτονες,
καὶ δημιουργοὶ, καὶ μέτοικοι, καὶ ξένοι,
καὶ νησιῶται, δεῦρ' ἴτ', ὦ πάντες λεῴ,
ὡς τάχιστ' ἅμας λαβόντες, καὶ μοχλοὺς, καὶ σχοινία.
νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν Ἀγαθοῦ Δαίμονος.
Χο. δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας.
ὦ πανέλληνες, βοηθήσωμεν εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν.
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾷν, φράζε, κἀρχιτεκτόνει.
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.
Τρ. οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
Χο. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.

Digitized by Google

οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.
Τρ. εὐλαβεῖσθε νῦν, ἐκεῖνον δεδιότες τὸν Κέρβερον,
μὴ παφλάζων καὶ κεκραγὼς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
ἐμποδὼν ἡμῖν γένηται, τὴν θεὸν μὴ 'ξελκύσαι.
Χο. οὔτι καὶ νῦν ἐστὶν αὐτὴν ὅστις ἐξαιρήσεται,
ἣν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοὺ, ἰού.
Τρ. ἐξολεῖτέ μ', ὦ 'νδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε.
ἐκδραμὼν γὰρ πάντα ταυτὶ ξυνταράξει τοῖν ποδοῖν.
Χο. ὡς κυκάτω, καὶ πατείτω πάντα, καὶ ταραττέτω.
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.
Τρ. τί τὸ κακόν; τί πάσχετ', ὦ 'νδρες; μηδαμῶς, πρὸς τῶν θεῶν,
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα.
Χο. ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ'· ἀλλ' ὑφ' ἡδονῆς,
οὐκ ἐμοῦ κινοῦντος, αὐτὼ τὼ σκέλη χορεύετον.
Τρ. μή τι καὶ νυνί γ' ἔτ'· ἀλλὰ παῦε, παῦ' ὀρχούμενος.
Χο. ἤν ἰδοὺ, καὶ δὴ πέπαυμαι.
Τρ. φῄς γε, παύει δ' οὐδέπω.
Χο. ἕν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.
Τρ. τουτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσεσθ' ἔτι.
Χο. οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τι σε.
Τρ. ἀλλ', ὁρᾶτ', οὔπω πέπαυσθε.
Χο. τουτογὶ, νὴ τὸν Δία,
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
Τρ. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.
Χο. ἀλλὰ καὶ τἀριστερόν τι μοί 'στ' ἀναγκαίως ἔχον.
ἥδομαι γὰρ καὶ γέγηθα, καὶ πέπορδα, καὶ γελῶ,
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς, ἐκφυγὼν τὴν ἀσπίδα.

Digitized by Google

edicto; longe enim diversum est ab illo, quo toties venire jussi fuimus trium dierum commeatum habentes.

TRYG. Cavete nunc formidantes Cerberum illum, ne ira æstuans et vociferans, ut modo, quum hic erat, impedimento nobis sit, quo minus deam extrahamus.

CHOR. Nemo est, qui eam mihi nunc quovis pacto eripiat, si semel in meas venerit manus.

TRYG. Heu! heu! occidetis me, ô viri, nisi clamorem remittatis. Foras enim se proripiens omnia hæc conturbabit pedibus.

CHOR. Misceat sane, et conculcet omnia, et turbet: non enim facile gaudio moderabimur hodie.

TRYG. Quid hoc mali est? quid accidit vobis, ô viri? Neutiquam, per deos obsecro, corrumpatis saltando pulcherrimum negotium.

CHOR. Equidem hercle saltare non cogito; verum præ voluptate, me non movente, ipsa crura saltitant.

TRYG. Ne amplius etiam: sed desine, desine saltare.

CHOR. En jam desii.

TRYG. Dicis quidem: sed nondum desinis.

CHOR. Unam hanc choream sine me ducere, et non amplius.

TRYG. Hanc unam ergo: at ne præterea saltetis quidquam.

CHOR. Non saltaremus, si quid tibi prodessemus.

TRYG. Sed videte, nondum desiistis.

CHOR. Istuc modo crus dextrum si jactavero, jam tum mehercle desinam.

TRYG. Hoc equidem vobis ita concedo, ut amplius mihi molesti ne sitis.

CHOR. Sed et sinistrum etiam necesse est ut nonnihil jactem. Quippe lætus sum, et lætitia differor, et pedo, et rideo, magis quam si senectam exuissem, quia clypeum effugi.

Digitized by Google

Tryg. Ne gaudete, quæso, adhuc; nondum enim certo rem scitis. Sed quando prehenderimus ipsam, tunc gaudete, et clamate, et ridete. Quippe tum demum licebit vobis navigare, manere, futuere, dormire, interesse ludis solemnibus, epulari, cottabo ludere, Sybariticis deliciis frui, *Iu! Iu!* exclamare.

Chor. Utinam mihi liceat videre hunc diem aliquando. Ærumnas enim toleravi multas, et stramenta, Phormionis peculium. Nec amplius me invenies judicem acerbum et difficilem, nec asperum durumque ingenio, sed mollem me videbis, multoque mitiorem, ubi solutus fuero belli molestiis. Etenim satis longo jam tempore perimus et atterimur, dum vagamur in Lyceum et ex Lyceo cum hasta et cum clypeo. Sed quo facto tibi maxime gratificemur age eloquere: te enim imperatorem legit nobis benigna quædam fortuna.

Tryg. Age jam dispiciam, quorsum istos lapides amoliemur.

Merc. O impure et temerarie, quid facere cogitas?

Tryg. Nihil mali; sed id quod Cillicon.

Merc. Periisti homo infelix.

Digitized by Google

Τρ. μηκέτ' οὖν νυνί γε χαίρετ'· οὐ γὰρ ἴστε πω σαφῶς.
ἀλλ' ὅταν λάβωμεν αὐτὴν, τηνικαῦτα χαίρετε,
καὶ βοᾶτε, καὶ γελᾶτ'· ἤ-
δη γὰρ ἔξεσται τόθ' ὑμῖν
πλεῖν, μένειν, κινεῖν, καθεύδειν
ἐς πανηγύρεις θεωρεῖν,
ἑστιᾶσθαι, κοτταβίζειν,
συβαρίζειν,
ἰοὺ, ἰοὺ κεκραγέναι.

Χο. εἴθε μοι ταύτην ἰδεῖν γένοιτό ποτε τὴν ἡμέραν.
πολλὰ γὰρ ἀνεσχόμην
πράγματά τε, καὶ ςιβάδας, ἃς ἔλαχε Φορμίων·
κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν δριμὺν, οὐδὲ δύσκολον,
οὐδὲ τὸς τρόπος γε δήπε σκληρὸν, ὥσπερ καὶ πρὸ τοῦ,
ἀλλ' ἁπαλὸν ἄν μ' ἴδοις
καὶ πολὺ νεώτερον, ἀ-
παλλαγέντα πραγμάτων.
καὶ γὰρ ἱκανὸν χρόνον ἀ-
πολλύμεθα, καὶ κατατετρίμμεθα, πλανώμενοι
ἐς Λυκεῖον, κἀκ Λυκείου,
σὺν δορὶ, σὺν ἀσπίδι τε
ἀλλ', ὅ τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε
φράζε· σὲ γὰρ αὐτοκράτορ'
εἵλετ' ἀγαθή τις ἡμῖν τύχη.

Τρ. φέρε δὴ κατίδω ποῖ τοὺς λίθους ἀφέλξομεν.

Ερ. ὦ μιαρὲ, καὶ τολμηρὲ, τί ποιεῖν διανοεῖ;

Τρ. οὐδὲν πονηρὸν, ἀλλ' ὅπερ καὶ Κιλλικών.

Ερ. ἀπόλωλας, ὦ κακόδαιμον.

Digitized by Google

Τρ. οὐκοῦν, ἢν λάχω.
Ἑρμῆς γὰρ ὢν, κλήρῳ ποιήσεις οἶδ᾽ ὅ τι.
Ερ. ἀπόλωλας, ἐξόλωλας.
Τρ. ἐς τίν᾽ ἡμέραν;
Ερ. ἐς αὐτίκα μάλ᾽.
Τρ. ἀλλ᾽ οὐδὲν ἠμπόληκά πω,
οὔτ᾽ ἄλφιτ᾽, οὔτε τυρὸν, ὡς ἀπολούμενος.
Ερ. καὶ μὴν ἐπιτέτριψαί γε.
Τρ. κᾆτα τῷ τρόπῳ
οὐκ ᾐσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;
Ερ. ἆρ᾽ οἶσθα, θάνατον ὅτι προεῖφ᾽ ὁ Ζεὺς, ὃς ἂν
ταύτην ἀνορύττων εὑρεθῇ;
Τρ. νῦν ἆρ᾽ ἐμὲ
ἅπασ᾽ ἀνάγκη ᾽στ᾽ ἀποθανεῖν;
Ερ. εὖ ἴσθ᾽ ὅτι.
Τρ. ἐς χοιρίδιόν μοί νυν δάνεισον τρεῖς δραχμάς.
δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι.
Ερ. ὦ Ζεῦ κεραυνοβρόντα.
Τρ. μὴ, πρὸς τοῖν θεοῖν,
ἡμῶν κατείπῃς, ἀντιβολῶ σε, δέσποτα.
Ερ. οὐκ ἂν σιωπήσαιμι.
Τρ. ναὶ, πρὸς τῶν κρεῶν,
ἅ᾽γω προθύμως σοι φέρων ἀφικόμην.
Ερ. ἀλλ᾽, ὦ μέλε᾽, ὑπὸ Διὸς ἀμαλδυνθήσομαι,
εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.
Τρ. μή νυν λακήσῃς, λίσσομαί σ᾽, ὦ ᾽ρμίδιον.
εἴπ᾽ ἐμοὶ, τί πάσχετ᾽, ὦνδρες; ἕστατ᾽ ἐκπεπληγμένοι.
ὦ πόνηροι, μὴ σιωπᾶτ᾽· εἰ δὲ μὴ, λακήσεται.

Digitized by Google

TRYG. Siquidem sortitio fiat: tu enim, qui Mercurius es, sortibus dirigendis quid facturus sis scio.

MERC. Periisti, interiisti.

TRYG. In quem diem?

MERC. Jam statim.

TRYG. At nihil adhucdum emi, nec farinam, nec caseum, tanquam periturus.

MERC. Atqui jam contritus es.

TRYG. Quomodo ergo non sensi me tanta affici voluptate?

MERC. Num scis Jovem prædixisse mortem illi, qui hanc effodiens deprehensus fuerit?

TRYG. Ergone nunc me mori omnino necesse est?

MERC. Scias hoc ita esse.

TRYG. Da igitur mutuas mihi tres drachmas in porcellum; oportet enim initiari me, priusquam moriar.

MERC. O Jupiter fulminator---

TRYG. Per deos obsecro, domine, ne nos indices.

MERC. Nolim silere.

TRYG. Immo per carnes te rogo, quas tibi ultro adtuli.

MERC. At, ô miselle, eradícabit me Jupiter, nisi alto clamore hæc palam fecero.

TRYG. Noli nunc clamare, obsecro te, Mercuriole. Vos vero dicite mihi, quid accidit vobis? sic statis attoniti? ô perditi, ne parcite precibus; sin minus, consilium nostrum clamore denuntiabit ille.

Digitized by Google

Chor. Neutiquam, ô domine Mercuri, neutiquam hoc feceris, si quem gratum et acceptum tibi porcellum a me oblatum meministi te comedere, nec meritum illud parvipendas istoc in negotio.

Tryg. Non audis, ut adulentur tibi, ô Rex domine?

Chor. Ne fias iratus ex propitio supplicibus nobis, ut istam nancisci nequeamus: sed gratificare nobis, ô humanissime, et munificentissime deorum, si detestaris Pisandri cristas et supercilia: sic te victimis sacris, et supplicationibus magnificis honorabimus, ô domine, semper.

Tryg. Age, obsecro, miserere supplicis eorum vocis, quoniam majori etiam te quam antehac cultu dignantur.

Merc. Furaciores enim nunc sunt quam antehac.

Tryg. Atque tibi indicabo rem atrocem et magni momenti, quæ contra deos omnes suscipitur.

Merc. Age, sodes, eloquere: forte enim permoveris me.

Tryg. Namque Luna et veterator ille Sol vobis insidiantur a longo jam tempore: Barbaris produnt Græciam.

Merc. Curnam vero id faciunt?

Tryg. Quia hercle nos quidem vobis sacrificamus: istis autem barbari sacrificant. Quocirca, ut par est, vellent vos omnes perire, ut sacra, quæ ceteris diis offerri solent, acciperent ipsi omnia.

Digitized by Google

Χο. μηδαμῶς, ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μὴ, μηδαμῶς,
εἴ τι κεχαρισμένον
χοιρίδιον οἶσθα παρ' ἐμοῦ γε κατεδηδοκὼς,
κεῖνο μὴ φαῦλον νομίζων τουτωῒ τῷ πράγματι.
Τρ. οὐκ ἀκούεις, οἷα θωπεύουσί σ', ὦ 'ναξ δέσποτα;
Χο. ἡμὶν ἀντιβολοῦσιν, ὦ 'ναξ, μὴ γένῃ παλίγκοτος,
ὥστε τήνδε μὴ λαβεῖν·
ἀλλὰ χάρισαι, φιλαν-
θρωπότατε, καὶ μεγαλο-
δωρότατε δαιμόνων,
εἴ τι Πεισάνδρȣ βδελύττει τοὺς λόφȣς καὶ τὰς ὀφρῦς.
καί σε θυσίαισιν ἱε-
ραῖσι, προσόδοις τε μεγά-
λαισι διαπαντὸς, ὦ
δέσποτ', ἀγαλοῦμεν ἀεί.
Τρ. ἴθ' ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα,
ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
Ερ. κλέπται γάρ εἰσι νῦν γε μᾶλλον, ἢ πρὸ τοῦ.
Τρ. καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
Ερ. ἴθι δὴ, κάτειπ'· ἴσως γαρ ἂν πείσαις ἐμέ.
Τρ. ἡ γὰρ Σελήνη, χὡ πανοῦργος Ἥλιος,
ὑμῖν ἐπιβουλεύουσι πολὺν ἤδη χρόνον.
τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
Ερ. ἵνα τί δὲ τοῦτο δρᾶτον;
Τρ. ὅτι, νὴ τὸν Δία,
ἡμεῖς μὲν ὑμῖν θύομεν· τούτοισι δὲ
οἱ βάρβαροι θύουσι. διὰ τοῦτ' εἰκότως

Digitized by Google

βούλοιντ' ἂν ὑμᾶς πάντας ἐξολωλέναι,
ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
Ερ. ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην,
καὶ τοῦ κύκλου παρέτρωγον ὑφ' ἁρματωλίας.
Τρ. ναὶ μὰ Δία. πρὸς ταῦτ', ὦ φίλ' Ἑρμῆ, ξύλλαβε
ἡμῖν προθύμως, τήνδε καὶ ξυνέλκυσον.
καί σοι τὰ μεγάλ' ἡμεῖς Παναθήναι' ἄξομεν,
πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
Μυστήρι' Ἑρμῇ, Διϊπόλει', Ἀδώνια·
ἄλλαι τέ σοι πόλεις, πεπαυμέναι κακῶν,
Ἀλεξικάκῳ θύσουσιν Ἑρμῇ πανταχοῦ.
χ' ἅτερ' ἔτι πόλλ' ἕξεις ἀγαθά. πρῶτον δέ σοι
δῶρον δίδωμι τήνδ', ἵνα σπένδειν ἔχῃς.
Ερ. οἴμ' ὡς ἐλεήμων εἴμ' ἀεὶ τῶν χρυσίδων.
ὑμέτερον ἐντεῦθεν ἔργον, ὦ 'νδρες· ἀλλὰ ταῖς ἅμαις
εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
Χο. ταῦτα δράσομεν· σὺ δ' ἡμῖν, ὦ θεῶν σοφώτατε,
ἅττα χρὴ ποιεῖν, ἐφεστὼς φράζε δημιουργικῶς·
τἄλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
Τρ. ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως
ἔργῳ 'φιαλοῦμεν, εὐξάμενοι τοῖσιν θεοῖς.
Ερ. σπονδή, σπονδή·
εὐφημεῖτε, εὐφημεῖτε.
Τρ. σπένδοντες εὐχόμεσθα, τὴν νῦν ἡμέραν
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν·
χὤστις προθύμως ξυλλάβῃ τῶν σχοινίων,
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.
Χο. μὰ Δί' ἀλλ' ἐν εἰρήνῃ διάγειν με τὸν βίον,

Digitized by Google

Merc. Hæc ergo causa est, cur dudum dies imminuerunt lanculum, et orbem arroserunt aurigatione subdola.

Tryg. Rem hercle loquere. Proinde, amice Mercuri, adjuva nos alacri animo, et illam una nobiscum extrahe. Atque tibi magna illa Panathenæa celebrabimus, ceterasque omnes deorum ferias, ita ut deinceps in honorem Mercuri agitentur Mysteria, Diipolia, Adonia: tum ceteræ urbes a malis liberatæ Averruncatori sacrificabunt Mercurio ubique: aliaque præterea multa habebis bona. Primum autem dono tibi phialam hancce do, ut ea libare possis.

Merc. Hei, quam misericors semper sum vasorum aureorum gratia! Vestrum deinceps negotium est, ô viri: age cum ligonibus ingressi ocius lapides amovete.

Chor. Hoc agemus: tu vero nobis, ô deorum sapientissime, adsta, et, ut fabrûm præfectus, quidquid facto opus sit, impera: ceterum invenies nos ad ministrandum non ignavos.

Tryg. Agedum tu ocius porrige phialam, ut opus auspicemur deos precati.

Merc. Libatio fit, libatio: ore favete, ore favete.

Tryg. Inter libandum precamur, ut præsens dies fiat multorum bonorum Græcis omnibus initium; quique promto animo funes nobiscum contigerit, ille vir ut nunquam sumat clypeum.

Chor. Edepol ne clypeum sumam: sed in pace potius degam ætatem, habens amicam et fodicans carbones.

Digitized by Google

Tryg. Quisquis autem bellum præoptat, is nunquam desinat, ô dive Bacche, e cubitis suis telorum cuspides eximere.

Chor. Tum si quis cupiens ordines ducere, tibi lucis usuram invidet, ô diva Pax, in præliis idem ei contingat, quod Cleonymo solet.

Tryg. Tum si quis hastarum faber, aut institor clypeorum, ut merces suas melius vendat, bellum cupit, is a prædonibus captus nihil nisi hordeum comedat.

Chor. Tum si quis imperator esse volens non adjuverit, aut servus aliquis transfugere ad hostes parans, in rota versetur et flagris cædatur: nobis vero bona eviniant ΙΗ ΠΑΙΩΝ ΙΗ.

Tryg. Aufer istud ΠΑΙΕΙΝ et dic tantum ΙΗ.

Chor. ΙΗ, ΙΗ ergo, ΙΗ tantum dico.

Tryg. Mercurio, Gratiis, Horis, Veneri, Cupidini—

Chor. Et Marti.

Tryg. Non, non.

Chor. Nec saltem Enyalio?

Tryg. Non.

Chor. Subtendite quisque, et funibus deducite lapidem.

Merc. O eia.

Chor. Eia magis.

Merc. O eia.

Chor. Eia adhuc magis.

Merc. O eia, ô eia.

Tryg. Sed pari jugo non trahunt viri. Nonne simul incum-

Digitized by Google

ἔχονθ' ἑταῖραν, καὶ σκαλεύοντ' ἄνθρακας.
Τρ. ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται,
μηδέποτε παύσασθ' αὐτὸν, ὦ Διόνυσ' ἄναξ,
ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.
Χο. κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν, σοὶ φθονεῖ
εἰς φῶς ἀνελθεῖν, ὦ πότνιά γ', ἐν ταῖς μάχαις
πάσχοι γε τοιαῦθ', οἷά περ Κλεώνυμος.
Τρ. κεἴ τις δορυξόος, ἢ κάπηλος ἀσπίδων,
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν,
ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.
Χο. κἤν τις, στρατηγεῖν βουλόμενος, μὴ ξυλλάβῃ,
ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος,
ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος·
ἡμῖν δ' ἀγαθὰ γένοιτ'. ἰὴ Παιὼν, ἰή.
Τρ. ἄφελε τὸ παίειν, ἀλλ' ΙΗ μόνον λέγε.
Χο. ἰὴ, ἰὴ τοίνυν, ἰὴ μόνον λέγω.
Τρ. Ἑρμῇ, Χάρισιν, Ὥραισιν, Ἀφροδίτῃ, Πόθῳ.
Χο. Ἄρεϊ δέ.
Τρ. μὴ, μή.
Χο. μηδ' Ἐνυαλίῳ γε;
Τρ. μή.
Χο. ὑπότεινε δὴ πᾶς, καὶ κάταγε τοῖσιν κάλῳς.
Ερ. ὦ εἶα.
Χο. εἶα μάλα.
Ερ. ὦ εἶα.
Χο. εἶα ἔτι μάλα.
Ερ. ὦ εἶα, ὦ εἶα.
Τρ. ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως.

Digitized by Google

οὐ ξυλλήψεσθ'; οἷ' ὀγκύλλεσθ'.
οἰμώξεσθ', ὦ Βοιωτοί.
Ερ. εἶα νῦν.
Τρ. εἶα ὤ.
Χο. ἄγετον, ξυνέλκετον καὶ σφώ.
Τρ. οὔκουν ἕλκω, κἀξαρτῶμαι,
κἀπεμπίπτω, καὶ σπουδάζω;
Ερ. πῶς οὖν οὐ χωρεῖ τοὔργον;
Χο. ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμενος.
οὐδὲν δεόμεθ', ὦ 'νθρωπε, τῆς σῆς μορμόνος.
Ερ. οὐδ' οἵδε γ' εἷλκον. οὐδὲν Ἀργεῖοι πάλαι,
ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
Τρ. ἀλλ' οἱ Λάκωνες, ὦ 'γάθ', ἕλκουσ' ἀνδρικῶς.
Ερ. ἆρ' οἶσθ'; ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
Χο. οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδέν· ἕλκουσιν δ' ὅμως
γλισχρότατα σαρκάζοντες, ὥσπερ κυνίδια,
ὑπὸ τοῦ γε λιμοῦ, νὴ Δί', ἐξολωλότες.
Τρ. οὐδὲν ποιοῦμεν, ὦ 'νδρες, ἀλλ' ὁμοθυμαδὸν
ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.
Ερ. ὦ εἶα.
Τρ. εἶα μάλα.
Ερ. ὦ εἶα.
Τρ. εἶα νὴ Δία.
Ερ. ὦ εἶα, ὦ εἶα.
Χο. μικρὸν κινοῦμέν γ'.
Τρ. οὐ δεινὸν

Digitized by Google

betis? ut turgentes simulato nisu operam frustramini! male plorabitis, vos Bœotii.

MERC. Eia ergo.

TRYG. Eia ô!

CHOR. Agite vos etiam una trahite.

TRYG. Ergone non traho, et ex fune pendeo, et incumbo, et serio rem gero?

MERC. Qui fit ergo, ut non procedat opus?

CHOR. O Lamache, injurius es, qui nobis obstas hic sedens: nihil opus est nobis, ô bone, tua Gorgone.

MERC. Nec isti traxerunt. Dudum est, quum Argivi nihil aliud curant, quam ut irrideant eos, qui conflictantur ærumnis, præsertim quum bifariam mereant stipendia.

TRYG. Sed Lacones, ô bone, trahunt strenue.

MERC. Scinne vero, ut trahant? quotquot eorum ligna tractant, ii soli enixe incumbunt; sed non sinit ærarius faber.

CHOR. Nec Megarenses quicquam agunt; trahunt tamen, perquam avide diducentes rictum, catulorum instar dum ossa arrodunt, quippe qui fame mehercle pereant.

TRYG. Nihil promovemus, ô viri: sed uno animo omnes nos denuo adniti oportet.

MERC. O eia.

TRYG. Eia magis.

MERC. O eia.

TRYG. Eia mehercle.

MERC. O eia, ô eia.

CHOR. Parum sane promovemus.

TRYG. Nonne indignum est alios quidem tendere et trahere, alios vero retrahere? Plagas accipietis vos Argivi.

Digitized by Google

Merc. Eia ergo.

Tryg. Eia ó!

Chor. Quam malevoli sunt quidam inter nos!

Tryg. Vos ergo, qui pacis cupiditate flagratis, trahite fortiter.

Chor. Sed sunt, qui impediunt.

Tryg. Viri Megarenses, nonne malo cruciatu hinc facessetis? odit enim vos Dea, alliorum memor, quibus illam unxistis primi. Vobis etiam Atheniensibus edico, ut desinatis isti adhærere parti, unde nunc trahitis: non enim nisi judiciis exercendis occupati estis. Sed si cupitis illam extrahere, ad mare nonnihil recedite.

Chor. Agite, ô viri, capessamus jam opus nos soli agricolæ.

Merc. Procedit sane negotium multo magis vobis, ô viri.

Chor. Ait procedere negotium: sed enitere quisquis ades.

Tryg. Profecto soli agricolæ opus extrahendo peragunt, et nemo alius.

Chor. Age nunc, age quisque. Atqui jam prope est: ne ergo remittamus, sed intendamus fortius: jamjam confectum est negotium. O eia nunc, ô eia omnes; ô eia eia, ô eia eia, ô eia eia, ô eia omnes.

Digitized by Google

τοὺς μὲν τείνειν, τοὺς δ' ἀντισπᾶν;
πληγὰς λήψεσθ', ὦ 'ργεῖοι.

Ερ. εἶα νῦν.

Τρ. εἶα ὦ.

Χο. ὡς κακόνοι τινές εἰσιν ἐν ἡμῖν.

Τρ. ὑμεῖς μὲν οὖν οἱ κιττῶντες
τῆς εἰρήνης, σπᾶτ' ἀνδρείως.

Χο. ἀλλ' εἴσ', οἱ κωλύουσιν.

Τρ. ἄνδρες Μεγαρῆς, οὐκ ἐς κόρακας ἐῤῥήσετε;
μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη.
πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε.
καὶ τοῖς 'Αθηναίοισι παύσασθαι λέγω,
ἐντεῦθεν ἐχομένοις, ὅθεν νῦν ἕλκετε·
οὐδὲν γὰρ ἄλλο δρᾶτε, πλὴν δικάζετε.
ἀλλ', εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε.

Χο. ἄγ', ὦνδρες, αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί.

Ερ. χωρεῖ γε δὴ τὸ πρᾶγμα πολλῷ μᾶλλον, ὦνδρες, ὑμῖν.

Χο. χωρεῖν τὸ πρᾶγμά φησιν· ἀλλὰ πᾶς ἀνὴρ προθυμοῦ.

Τρ. οἵ τοι γεωργοὶ τοὔργον ἐξέλκουσι, κἄλλος οὐδείς.

Χο. ἄγε νῦν, ἄγε πᾶς
καὶ μὴν ὁμοῦ 'στιν ἤδη.
μὴ νῦν ἀνῶμεν, ἀλλ' ἐπεν-
τείνωμεν ἀνδρικώτερον.
ἤδη 'στὶ τοῦτ' ἐκεῖνο.
ὦ εἶα νῦν, ὦ εἶα πᾶς.
ὦ εἶα εἶ', ὦ εἶα εἶ',
ὦ εἶα εἶ', ὦ εἶα πᾶς.

Digitized by Google

Τρ. ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος;
πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον,
ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν.
ὦ χαῖρ' Ὀπώρα, καὶ σὺ δ', ὦ Θεωρία.
οἷον δ' ἔχεις τὸ πρόσωπον, ὦ Θεωρία·
οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας,
γλυκύτατον, ὥσπερ ἀστρατείας καὶ μύρου.
μῶν οὖν ὅμοιον καὶ γυλίου στρατιωτικοῦ;

Χο. ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.
τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίας·
ταύτης δ', ὀπώρας, ὑποδοχῆς, Διονυσίων,
αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν, κιχλῶν,
ἐπυλλίων Εὐριπίδου---

Τρ. κλαῦσαι 'ρα σὺ,
ταύτης καταψευδόμενος. οὐ γὰρ ἥδεται
αὕτη ποιητῇ ῥηματίων δικανικῶν.

Χο. κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
κόλπου γυναικῶν διατρεχουσῶν εἰς ἰπνὸν,
δούλης μεθυούσης, ἀνατετραμμένου χοῶς,
ἄλλων τε πολλῶν κἀγαθῶν.

Ερ. ἴθι νῦν, ἄθρει,
οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
διαλλαγεῖσαι, καὶ γελῶσιν ἄσμεναι,
καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἀπαξάπασαι, καὶ κυάθοις προσκείμεναι.

Τρ. καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
τὰ πρόσωφ', ἵνα γνῷς τὰς τέχνας.

Ερ. αἰβοῖ τάλας,

Digitized by Google

Tryg. O Diva uvarum datrix, qua te compellem oratione? unde sumam verbum decies mille amphorarum capax, quo te salutem? non enim habeo domo. O salve, Opora, et tu etiam ô Theoria. O qualis est vultus tibi, ô Theoria! ô quale et quam suave spiras intimo corde, dulcissimum, quasi vacationem militiæ et unguentum! num ergo similis est odor sportæ militaris?

Chor. Abominor inimici hominis infestissimum vas textum vimine: illud enim olet ructum acidum cepæ; hæc autem olet poma, convivium, Dionysia, tibias, tragœdos, Sophoclis carmina, turdos, versiculos Euripidis—

Tryg. Plora tu quidem, qui eam falso insimulas: non enim delectatur forensium oratiuncularum artifice.

Chor. Hederam, qualum quo mustum percolatur, balantes oves, sinum mulierum ad furnos cursitantium, ancillam temulentam, inversum congium, aliaque multa et bona.

Merc. Age adspice nunc, ut inter se confabulantur civitates reconciliatæ, et rident lubenti animo, tametsi sunt omnes mirum in modum suggillatæ, et cucurbitulas cuti inhærentes habent.

Tryg. Et horum etiam spectatorum intuere vultus, ut cognoscas singulorum artem.

Merc. Hei miser! Istum enim cristarum artificem nonne vides semet vellicantem? ille autem qui ligones factitat obpedit jam huic ensium fabro.

Digitized by Google

Tryg. At falcarius nonne vides ut gaudeat, et hastarum fabrum ut digito infami notet?

Merc. Age nunc jube agricolas abire.

Tryg. Audite populi: agricolæ abeant, sumtis rusticis instrumentis, in agrum quam citissime, sine hasta et sine gladio, et sine jaculo. Nam omnia jam plena hic sunt pacis antiquæ: sed unusquisque eat ad opus faciendum in agrum cantato Pæane.

Chor. O dies optata justis et agricolis, postquam te lubens adspexi, convenire volo vites; atque etiam ficus, quas ego sevi junior, salutare animus est nobis longo post tempore.

Tryg. Nunc igitur ô viri, adoremus primo Deam, quæ nobis ademit cristas et Gorgonas: post illa danda opera ut festino gradu abeamus domum, quisque ad suam villam, mercati nonnihil salsamenti melioris in agrum.

Merc. O Neptune, quam pulchra adspectu eorum caterva! quam densa et compacta, instar mazæ et cœnæ collatitiæ!

Tryg. Namque mehercle si splendens bene instructus sit malleus, et tridentes rastri refulgeant ad solem, eorum ope pulchre conserantur ordines: atque adeo jam cupio ire in agrum, et longo post tempore vertere rastro agellum. Sed, ô viri, revo-

Digitized by Google

ἐκεινονὶ γὰρ τὸν λοφοποιὸν οὐχ ὁρᾷς
τίλλονθ' ἑαυτόν; ὁ δέ γε τὰς σμινύας ποιῶν
κατέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ κεινουί.
Ἑρ. ὁ δὲ δρεπανουργὸς, οὐχ ὁρᾷς, ὡς ἥδεται,
καὶ τὸν δορυξόον οἷον ἐσκιμάλισεν;
Τρ. ἴθι νῦν ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.
Ἑρ. ἀκούετε λεῴ· τοὺς γεωργοὺς ἀπιέναι,
τὰ γεωργικὰ σκεύη λαβόντας, εἰς ἀγρὸν
ὡς τάχιστ', ἄνευ δορατίου, καὶ ξίφους, κἀκοντίου·
ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.
Χο. ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν, προσειπεῖν βούλομαι τὰς ἀμπέλους·
τάς τε συκᾶς, ἃς ἐγὼ 'φύτευον, ὢν νεώτερος,
ἀσπάσασθαι θυμὸς ἡμῖν ἐστι πολλοστῷ χρόνῳ.
Τρ. νῦν μὲν οὖν, ὦνδρες, προσευξώμεσθα πρῶτον τῇ θεῷ,
ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε, καὶ τὰς Γοργόνας·
εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' ἐς τὰ χωρία,
ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.
Ἑρ. ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται,
καὶ πυκνὸν, καὶ γοργὸν, ὥσπερ μᾶζα καὶ πανδαισία.
Τρ. νὴ Δί', ἡ γὰρ σφύρα λαμπρὸν ἦν ἂν ἐξωπλισμένη,
αἵ τε θρίνακες διαστίλβουσι πρὸς τὸν ἥλιον.
ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον,
ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ καὐτὸς ἐλθεῖν εἰς ἀγρὸν,
καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γήδιον.
ἀλλ' ἀναμνησθέντες, ὦνδρες,
τῆς διαίτης τῆς παλαιᾶς,

Digitized by Google

ἣν παρεῖχ' αὕτη ποθ' ὑμῖν,
τῶν τε παλασίων ἐκείνων,
τῶν τε σύκων, τῶν τε μύρτων,
τῆς τρυγός τε τῆς γλυκείας,
τῆς ἰωνιᾶς τε τῆς πρὸς
τῷ φρέατι, τῶν τ' ἐλαῶν,
ὧν ποθοῦμεν, ἀντὶ τούτων
τήνδε νυνὶ
τὴν θεὸν προσείπατε.

Χο. χαῖρε, χαῖρ', ὦ φίλταθ', ὡς
ἀσμένοισιν ἡμὶν ἦλθες.
σῷ γὰρ ἐδάμημεν πόθῳ,
δαίμονα βουλόμενοι
εἰς ἀγρὸν ἀνερπύσαι.
ἦσθα γὰρ τὸ μέγιστον ἡμῖν
κέρδος, ὦ ποθουμένη
πᾶσιν, ὁπόσοι γεωργι-
κὸν βίον ἐτρίβομεν.
μόνη γὰρ ἡμᾶς ὠφέλεις.
πολλὰ γὰρ ἐπάσχομεν
πρίν ποτ' ἐπὶ σοῦ γλυκέα,
κἀδάπανα, καὶ φίλα.
τοῖς ἀγροίκοισιν γὰρ ἦσθα
χίδρα, καὶ σωτηρία,
ὥστε σὲ τά τ' ἀμπέλια,
καὶ τὰ νέα συκίδια,
τἄλλα θ' ὅσα γ' ἐστὶ φυτὰ,
προσγελάσονταί σε λαβόντ' ἄσμενα.

Digitized by Google

cate in memoriam pristinam illam vivendi rationem, quam præstabat ista olim vobis, et caricas constipatas, et ficus, et myrtos, mustumque illud dulce, pratumque violarum illud ad puteum, et olivas, quarum flagramus desiderio, et pro istis hanc nunc Divam salutate.

CHOR. Salve, salve, ô carissima; quam cupidis advenisti nobis tui! domiti enim et victi sumus tui desiderio, te Deam cupientes in agrum remeare. Quippe nobis eras maximum emolumentum, ô expetita omnibus, quicunque rusticam terebamus vitam: sola enim nos juvabas. Nam multis fruebamur olim, te vigente, rebus dulcibus, quæ sine sumtu et gratæ accidebant. Quippe rusticis eras recens hordeum fresum et salus. Itaque tibi et vites, et teneræ ficus, ceteræque omnes stirpes adridebunt, te cupide recipientes. Sed ubinam a nobis ab-

Digitized by Google

fuit istæc multo isto tempore? hoc nos edoce, ô deorum benevolentissime.

MERC. O sapientissimi agricolæ, mea jam percipite verba, si vultis audire hanc, quomodo perierit. Prima quidem causa fuit Phidias adversa fortuna usus; deinde Pericles metuens ne in partem veniret ejusdem infortuni, quia formidabat indolem vestram, præfractumque ingenium, priusquam aliquid mali pateretur, ipse inflammavit rempublicam: quippe injecta parva scintilla decreti Megarici, excitavit tantum bellum, ut præ fumo omnes Græci lacrimarent, quique illic, quique hic sunt. Ut autem primum semel audivit vitis, crepuit, et cadus percussus iracunde recalcitravit cadum. Non amplius erat quisquam, qui hæc sedaret: ipsa autem Pax disparuit.

TRYG. Hæc sane, ita me Apollo amet, ex nemine resciveram, nec quomodo cum ea conjunctus esset Phidias, audiveram.

CHOR. Nec ego, nisi nunc: propterea ergo formosa erat Pax, utpote genere illi conjuncta: multa sane nobis latent.

MERC. Deinde postquam cognorunt civitates, quibus imperabatis, vos esse vobis invicem exasperatos, dentesque restringere, omnia in vos machinabantur tributorum metu, et pecuniarum largitionibus in partes suas adducebant Lacedæmoniorum primores: isti autem, utpote homines sordidi appetentes lucri, exterosque decipere sueti, hac turpiter abjecta, bellum arripuerunt: deinde illorum lucra agricolis erant intertrimento. Nam triremes hinc missæ ad ulciscendas injurias, hominum etiam immerentium ficus comedebant.

CHOR. Immo merito, quoniam ficum meam exciderunt illi, quam ego severam et educaveram.

Digitized by Google

ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον
ἥδε, τοῦθ' ἡμᾶς δίδαξον, ὦ θεῶν εὐνούστατε.
Ερ. ὦ σοφώτατοι γεωργοὶ, τἀμὰ δὴ ξυνίετε
ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ', ὅπως ἀπώλετο.
πρῶτα μὲν γὰρ αὐτῆς ἦρξε Φειδίας πράξας κακῶς·
εἶτα Περικλέης φοβηθεὶς μὴ μετάσχῃ τῆς τύχης,
τὰς φύσεις ὑμῶν δεδοικὼς, καὶ τὸν αὐτοδὰξ τρόπον,
πρὶν παθεῖν τι δεινὸν, αὐτὸς ἐξέφλεξε τὴν πόλιν·
ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος,
ἐξεφύσησεν τοσοῦτον πόλεμον, ὥστε τῷ καπνῷ
πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ, τούς τ' ἐνθάδε.
ὡς δ' ἅπαξ τοπρῶτον ἤκουσ', ἐψόφησεν ἄμπελος,
καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισεν πίθῳ·
οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.
Τρ. ταῦτα τοίνυν, μὰ τὸν Ἀπόλλω, 'γὼ 'πεπύσμην οὐδενὸς,
οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόη.
Χο. οὐδ' ἔγωγε, πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόσωπος ἦν,
οὖσα συγγενὴς ἐκείνου. πολλά γ' ἡμᾶς λανθάνει.
Ερ. κᾆτ', ἐπειδὴ 'γνωσαν ὑμᾶς αἱ πόλεις, ὧν ἤρχετε,
ἠγριωμένους ἐπ' ἀλλήλοισι καὶ σεσηρότας,
πάντ' ἐμηχανῶντ' ἐφ' ὑμῖν, τοὺς φόρους φοβούμεναι,
κἀνέπειθον τῶν Λακώνων τοὺς μεγίστους χρήμασιν.
οἱ δ', ἅτ' ὄντες αἰσχροκερδεῖς καὶ διειρωνόξενοι,
τήνδ' ἀποῤῥίψαντες αἰσχρῶς, τὸν πόλεμον ἀνήρπασαν·
κᾆτα τἀκείνων γε κέρδη τοῖς γεωργοῖς ἦν κακά.
αἱ γὰρ ἐνθένδ' αὖ τριήρεις ἀντιτιμωρούμεναι
οὐδὲν αἰτίων περ ἀνδρῶν τὰς κράδας κατήσθιον.
Χο. ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι τὴν κορώνεών γ' ἐμοῦ

Digitized by Google

ἐξέκοψαν, ἣν ἐγὼ 'φύτευσα κἀξεθρεψάμην.

Τρ. νὴ Δί', ὦ μέλ', ἐνδίκως δῆτ', εἴ γε κἀμοῦ, τὸν λίθον ἐμβαλόντες, ἐξμέδιμνον κυψέλην ἀπώλεσαν.

Ερ. κᾆτα δ', ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὐργάτης λεὼς,
τὸν τρόπον πωλούμενος τὸν αὐτὸν οὐκ ἐλάνθανεν,
ἀλλ', ἅτ' ὢν ἄνευ γιγάρτων, καὶ φιλῶν τὰς ἰσχάδας,
ἔβλεπεν πρὸς τοὺς λέγοντας· οἱ δὲ γιγνώσκοντες εὖ
τοὺς πένητας ἀσθενοῦντας, κἀποροῦντας ἀλφίτων,
τήνδε μὲν δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασι,
πολλάκις φανεῖσαν αὐτὴν τῆσδε τῆς χώρας πόθῳ·
τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους,
αἰτίας ἂν προστιθέντες, ὡς φρονοῖ τὰ Βρασίδου.
εἶτ' ἂν ὑμεῖς τοῦτον, ὥσπερ κυνίδι', ἐσπαράττετε.
ἡ πόλις γὰρ ὠχριῶσα, κἀν φόβῳ καθημένη,
ἅττα διαβάλοι τις αὐτῇ, ταῦτ' ἂν ἥδιστ' ἤσθιεν.
οἱ δὲ τὰς πληγὰς ὁρῶντες, ἃς ἔτυπτον, οἱ ξένοι
χρυσίῳ τῶν ταῦτα ποιούντων ἐβύουν τὸ στόμα,
ὥστ' ἐκείνους μὲν ποιῆσαι πλουσίους· ἡ δ' Ἑλλὰς ἂν
ἐξερημωθεῖσ' ἂν ὑμᾶς ἔλαθε. ταῦτα δ' ἦν ὁ δρῶν
βυρσοπώλης.

Τρ. παῦε, παῦ', ὦ δέσποθ' Ἑρμῆ, μὴ λέγε·
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον, οὗπερ ἔστ', εἶναι κάτω.
οὐ γὰρ ἔστ' ἐκεῖνος ἀνὴρ ἡμέτερος ἔτ', ἀλλὰ σός.
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον,
κεἰ πανοῦργος ἦν, ὅτ' ἔζη,
καὶ λάλος, καὶ συκοφάντης,
καὶ κύκηθρον, καὶ τάρακτρον,
ταῦθ' ἁπαξάπαντα νυνὶ

Digitized by Google

TRYG. Ita me Jupiter amet, ô bone, merito sane: nam et meam, lapide injecto, sex modiorum capacem cistam frumentariam perdiderunt.

MERC. Deinde, ut ex agris convenere in urbem agricolæ, eodem modo se etiam venales haberi, quo urbani, facile animadvertere; sed quum essent sine uvis, et desiderarent ficus, spectabant oratores: qui quum satis nossent pauperes infirmos esse, et laborare inopia victus, Divam istam sæpius clamoribus suis, tanquam furcillis, abegerunt, quoties illa, regionis hujus amore, sese conspiciendam exhibuit. Ex sociis autem illos quatiebant, qui essent pinguiores et opulentiores, affingentes hujuscemodi causas, *Brasidæ favet.* Tum vos istum falso oppressum crimine, tanquam catuli, lacerabatis. Urbs enim pallida morbo et in metu desidens, quæcunque quis per calumnias parta ei objiceret, lubentissime comedebat. At exteri, quum plagas viderent, quas isti infligebant, auro iis qui hæc faciebant, os obturabant; ita ut illos quidem facerent divites, Græcia autem desolaretur vobis non animadvertentibus. Caput autem istis rebus erat coriarius.

TRYG. Desine, desine, Mercuri domine, horum ne memineris; sed sine istum hominem esse apud Inferos, ubi est: non enim noster est ille vir amplius, sed tuus. Quæcunque igitur dixeris in illum, licet nequam fuerit, dum vixit, et loquax, et sycophanta, et miscuerit omnia et turbaverit, hæc inquam

Digitized by Google

omnia tuis dehinc exprobrabis. Sed cur sileas, ô Diva, dic mihi.

Merc. At hujus rei causam non facile animum inducet ut dicat spectatoribus: est enim iis valde irata, ob ea quæ perpessa est.

Tryg. Tibi saltem dicat ipsa paulum modo.

Merc. Dic mihi, ô carissima, quo erga istos sis animo; age ô mulierum clypeis inimicissima.—Esto: audio. Hæccine expostulas? intelligo.—Audite vos, quamobrem de vobis conqueratur. Ait se ultro venisse post res in Pylo gestas, cistamque adtulisse plenam induciis, sed rejectam fuisse ter in concione.

Tryg. Peccavimus in hac re; sed ignosce: mens enim nostra tunc erat in coriis.

Merc. Audi sis nunc, quod me modo interrogavit, quisnam malevolus ipsi maxime fuerit hic, et quis amicus, qui prælia ne fierent studuerit?

Tryg. Benevolentissimus quidem multo erat Cleonymus.

Merc. Qualis ergo videtur esse in re bellica Cleonymus?

Tryg. Animi fortissimi, nisi quod non est filius cujus ipse ait patris. Nam si quando exeat militatum, statim, quum arma abjicit, *subjectitius* esse arguitur.

Merc. Adhuc nunc audi, quod me modo interrogavit, quis nunc obtineat suggestum in Pnyce?

Tryg. Hyperbolus illum nunc locum tenet. Heus tu, quid facis? quonam caput tuum circumagis?

Digitized by Google

τοὺς σεαυτοῦ λοιδορεῖς.
ἀλλ' ὅ τι σιωπᾷς, ὦ πότνια, κάτειπέ μοι.
Ερ. ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους.
ὀργὴν γὰρ αὐτοῖς, ὧν ἔπαθε, πολλὴν ἔχει.
Τρ. ἥδ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
Ερ. εἴφ', ὅ τι νοεῖς αὐτοῖσι, πρὸς ἔμ', ὦ φιλτάτη.
ἴθ', ὦ γυναικῶν μισοπορπακιστάτη.
εἶέν γ', ἀκούω.—ταῦτ' ἐπικαλεῖς;—μανθάνω.
ἀκούσαθ' ὑμεῖς, ὧν ἕνεκα μομφὴν ἔχει.
ἐλθοῦσα, φησὶν, αὐτομάτη μετὰ τἀν Πύλῳ
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν,
ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ 'κκλησίᾳ.
Τρ. ἡμάρτομεν ταῦτ'· ἀλλὰ συγγνώμην ἔχε·
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
Ερ. ἴθι νῦν ἄκουσον, οἷόν ἄρτι μ' ἤρετο·
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χὤς τις φίλος, κἄσπευδεν εἶναι μὴ μάχας.
Τρ. εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
Ερ. ποῖός τις οὖν εἶναι δοκεῖ τὰ πολεμικὰ
ὁ Κλεώνυμος;
Τρ. ψυχὴν ἄριστος, πλήν γ' ὅτι
οὐκ ἦν ἄρ', οὗπερ φησὶν εἶναι, τοῦ πατρός.
εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίγνετο.
Ερ. ἔτι νῦν ἄκουσον, οἷόν ἄρτι μ' ἤρετο·
ὅς τις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ Πνυκί.
Τρ. Ὑπέρβολος νῦν τοῦτ' ἔχει τὸ χωρίον.
αὕτη, τί ποιεῖς; τὴν κεφαλὴν ποῖ περιάγεις;

Digitized by Google

Ερ. ἀποστρέφεται τὸν δῆμον, ἀχθεσθεῖσ', ὅτι
αὑτῷ πονηρὸν προστάτην ἐπεγράψατο.
Τρ. ἀλλ' οὐκέτ' αὐτῷ χρησόμεθ' οὐδὲν, ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου, καὶ γυμνὸς ὢν,
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.
Ερ. πῶς οὖν ξυνοίσει ταῦτ', ἐρωτᾷ, τῇ πόλει.
Τρ. εὐβουλότεροι γενησόμεθα τρόπῳ τινὶ,
ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα·
νυνὶ δ' ἅπαντα πρὸς λύχνον βουλεύσομεν.
Ερ. ὤ, ὤ·
οἷά μ' ἐκέλευσεν ἀναπυθέσθαι σου.
Τρ. τὰ τί;
Ερ. πάμπολλα, καὶ τἀρχαῖ' ἃ κατέλιπεν τότε.
πρῶτον δ', ὅ τι πράττει Σοφοκλέης, ἀνήρετο.
Τρ. εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν.
Ερ. τὸ τί;
Τρ. ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.
Ερ. Σιμωνίδης; πῶς;
Τρ. ὅτι, γέρων ὢν καὶ σαπρὸς,
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.
Ερ. τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν;
Τρ. ἀπέθανεν,
ὅθ' οἱ Λάκωνες ἐνέβαλον.
Ερ. τί παθών;
Τρ. ὅ τι;
ὡρακιάσας. οὐ γὰρ ἐξηνέσχετο
ὁρῶν πίθον καταγνύμενον οἴνου πλέων.

Digitized by Google

Merc. Aversatur populum, indigne ferens, quod malum præsidem sibi adscivit.

Tryg. At non amplius utemur eo; nunc autem quia populus indigebat tutore, nudusque erat, hoc viro interim, tanquam munimento, se præcinxit.

Merc. Quærit, qui tandem ista conductura sint reipublicæ.

Tryg. Prudentiores fiemus quodammodo, quia lucernarum artifex est. Antehac quidem palpabamus res gerendas in tenebris; at nunc de omnibus rebus ad lucernam consultabimus.

Merc. O! o! qualia jussit me ex te sciscitari!

Tryg. Quænam?

Merc. Plurima, etiam vetusta illa, quæ reliquit olim: et primo quidem quid rerum agat Sophocles, percontabatur.

Tryg. Bene ac beate est illi; et tamen evenit ei mirabile quiddam.

Merc. Quid?

Tryg. E Sophocle fit Simonides.

Merc. Simonides? quomodo?

Tryg. Quoniam senex et sordidus lucri causa vel in crate naviget.

Merc. Quid vero? estne in vivis adhuc Cratinus ille sapiens?

Tryg. Mortuus est, quando Lacones irruptionem fecerunt.

Merc. Quid ei accidit?

Tryg. Rogas? animi deliquium passus est: quippe dolori temperare non poterat, quum videret dolium vino plenum fran-

Digitized by Google

gi. Alia etiam quam multa censes contigisse urbi infortunia? quapropter, o domina, nunquam a te divellemur.

Merc. Age ergo hac lege accipe Oporam hancce tibi uxorem, deindeque in agris cum illa habitans procrea tibi uvas.

Tryg. O carissima, huc ades, et da mihi copiam tui osculandi. Numquid detrimenti capturus tibi videor, ô domine Mercuri, si longo post tempore Oporam subagitavero?

Merc. Non, si re patrata misturam pulegii biberis. Sed quam primum hancce Theoriam suscipe, et ad Senatum perduc, cujus quondam erat.

Tryg. O beate ut Senatus ob hanc Theoriam! quantum sorbebis jusculi per triduum! quam multa comedes viscera cocta et carnes! sed, ô amice Mercuri, vale multum.

Merc. Tu quoque vale, mi homo; lætus abi, et memor esto mei.

Tryg. O scarabæe, domum, domum avolemus.

Merc. Non est hic, o bone.

Tryg. Quorsum ergo abiit?

Merc. Currum Jovis subiit, et fulmen gerit.

Tryg. Unde ergo miser ille istic habebit cibos?

Merc. Ganymedis ambrosiam comedet.

Tryg. Quomodo ergo descendam ego?

Merc. Bono animo es, recte: hac, juxta ipsam Deam.

Tryg. Adeste, vos puellæ; sequimini me ocius: nam plurimi vos exspectant cupidi arrecto pene.

Digitized by Google

χ' ἄτερα πόσ' ἄττ' οἴει γεγενῆσθαι τῇ πόλει;
ὥστ' οὐδέποτ', ὦ δέσποιν', ἀφεξόμεσθά σου.

Ερ. ἴθι νυν, ἐπὶ τούτοις τὴν Ὀπώραν λάμβανε
γυναῖκα σαυτῷ τήνδε· κἆτ' ἐν τοῖς ἀγροῖς
ταύτῃ ξυνοικῶν, ἐκποιοῦ σαυτῷ βότρυς.

Τρ. ὦ φιλτάτη, δεῦρ' ἐλθὲ, καὶ δός μοι κύσαι.
ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τι σοὶ δοκῶ,
ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας;

Ερ. οὐκ, εἴ γε κυκεῶν' ἐπιπίοις βληχωνίαν.
ἀλλ' ὡς τάχιστα τήνδε τὴν Θεωρίαν
ἀπάγαγε τῇ Βουλῇ λαβὼν, ἧσπέρ ποτ' ἦν.

Τρ. ὦ μακαρία Βουλὴ σὺ τῆς Θεωρίας,
ὅσον ῥοφήσεις ζωμὸν ἡμερῶν τριῶν·
ὅσας δὲ κατέδει χόλικας ἑφθὰς καὶ κρέα.
ἀλλ' ὦ φίλ' Ἑρμῆ, χαῖρε πολλά.

Ερ. καὶ σύ γε
ὦ 'νθρωπε, χαίρων ἄπιθι, καὶ μέμνησό μου.

Τρ. ὦ κάνθαρ', οἴκαδ', οἴκαδ' ἀποπετώμεθα.

Ερ. οὐκ ἐνθάδ', ὦ 'τάν ἐστι.

Τρ. ποῖ γὰρ οἴχεται;

Ερ. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.

Τρ. πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία;

Ερ. τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.

Τρ. πῶς δῆτ' ἐγὼ καταβήσομαι;

Ερ. θάῤῥει, καλῶς·
τηδὶ παρ' αὐτὴν τὴν θεόν.

Τρ. δεῦρ', ὦ κόραι,
ἕπεσθον ἅμ' ἐμοὶ θᾶττον, ὡς πολλοὶ πάνυ

Digitized by Google

ποθοῦντες ὑμᾶς ἀναμένουσ᾽ ἐστυκότες.

Χορός.

ἀλλ᾽ ἴθι χαίρων· ἡμεῖς δὲ τέως τάδε τὰ σκεύη παραδόντες,
τοῖς ἀκολούθοις δῶμεν σώζειν, ὡς εἰώθασι μάλιστα
περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν καὶ κακοποιεῖν.
ἀλλὰ φύλαττε σὺ ταῦτ᾽ ἀνδρείως· ἡμεῖς δ᾽ αὖ τοῖσι θεαταῖς
ἣν ἔχομεν ὁδὸν, λόγον εἴπωμεν, χὤσα τε νοῦς αὐτὸς ἔχει γε.
Χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις κωμῳδοποιητὴς
αὑτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν τοῖς ἀναπαίστοις·
εἰ δ᾽ οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διὸς, ὅστις ἄριστος
κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται,
ἄξιος εἶναι φήσ᾽ εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν.
πρῶτον μὲν γὰρ τοὺς ἀντιπάλους μόνος ἀνθρώπων κατέπαυσεν
ἐς τὰ ῥάκια σκώπτοντας ἀεὶ, καὶ τοῖς φθειρσὶν πολεμοῦντας·
τούς θ᾽ Ἡρακλέας τοὺς μάττοντας, καὶ τοὺς πεινῶντας ἐκείνους,
τοὺς φεύγοντας, κἀξαπατῶντας, καὶ τυπτομένους ἐπίτηδες,
ἐξήλασ᾽ ἀτιμώσας πρῶτος· καὶ τοὺς δούλους κατέλυσεν,
οὓς ἐξῆγον κλάοντας ἀεὶ, καὶ τούτους οὕνεκα τουδὶ,
ἵν᾽ ὁ σύνδουλος σκώψας αὐτοῦ, τὰς πληγὰς εἶτ᾽ ἀνέροιτο·
Ὦ κακόδαιμον, τί τὸ δέρμ᾽ ἔπαθες; μῶν ὑστριχὶς εἰσέβαλέν σοι
ἐς τὰς πλευρὰς πολλῇ στρατιᾷ, κἀδενδροτόμησε τὰ νῶτα;---
τοιαῦτ᾽ ἀφελὼν κακὰ καὶ φόρτον, καὶ βωμολοχεύματ᾽ ἀγεννῆ,
ἐποίησε τέχνην μεγάλην ἡμῖν, κἀπύργωσ᾽ οἰκοδομήσας
ἔπεσιν μεγάλοις, καὶ διανοίαις, καὶ σκώμμασιν οὐκ ἀγοραίοις,
οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν, οὐδὲ γυναῖκας·
ἀλλ᾽ Ἡρακλέους ὀργήν τιν᾽ ἔχων, τοῖσι μεγίστοις ἐπιχειρεῖ,
διαβὰς βυρσῶν ὀσμὰς δεινὰς, κἀπειλὰς βορβοροθύμους.
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι,

Digitized by Google

CHOR. Sed abi lætus: nos autem interea hanc supellectilem comitibus servandam committamus: quippe solent præcipue circa scenas plurimi fures morari occulti, et mala patrare. Sed tu custodi hæc strenue: nos autem spectatoribus dicamus ex instituto nostro quæcunque nobis ratio suadet atque animus.

Equidem oportebat ut, si quis comicus poëta in digressione ad spectatores per anapæstos se ipsum laudaret, illum verberarent lictores: sin, ô Jovis filia, æquum est, quempiam honore adfici, qui præstantissimus hominum et celeberrimus evaserit in arte comœdias docendi, poëta noster magna se laude dignum esse ait. Primo enim solus omnium effecit, ut quos habet æmulos, ii desierint pannos mendicorum irridere, et cum pediculis belligerare: deinde Hercules illos pinsentes, et famelicos, et fugitivos, et fraudulentos, et se consulto verberibus offerentes, collutulatos expulit primus: servos etiam facessere coëgit, quos semper producebant flentes, idque eapropter, ut conservus ridens alterius plagas sic eum interrogaret; *O miser quid accidit cuti tuæ? num hystrix invasit tibi in latera cum magno exercitu, tergumque tuum exscidit et vastavit?* Sublatis his ineptiis, odiosisque et ignobilibus nugis, magnam fecit artem vobis, quam ædificavit, et alte quasi turribus eduxit verbis magnificis, et sententiis, dicteriisque haud trivialibus; operam non abutens perstringendis privatis homuncionibus, mulieribusve: sed herculeo quodam impetu maxima monstra aggreditur, transcendens coriorum fœtores tetros et cœni commoti minas. Et primum quidem omnium oppugno ipsam illam serratis dentibus immanem beluam, cujus ab oculis terribiles micabant

Digitized by Google

Cynnæ radii, caput autem ejus circumlambebant centum capita perditissimorum adulatorum; quæ vocem habebat torrentis stragem edentis, odorem phocæ, coleos Lamiæ illotos, culumque cameli. Hujuscemodi viso monstro non extimui, sed pro vobis pugnans et pro insulis, obstiti ei semper. Quapropter nunc vos æquum est reddere gratiam mihi, et memores esse. Etenim antehac, quum rem ex sententia gessissem, non obambulabam palæstras, puerosque solicitabam; sed sumta supellectile statim abibam, in paucis molestus, in plerisque delectabilis, servato in omnibus officio. Proinde fautores me habere decet et viros et pueros: calvos etiam admonemus, ut suo studio nos adjuvent in adipiscenda victoria. Unus enim quisque dicet, me victore, ad mensam et in conviviis: *Porrige calvo illi, da calvo illi de bellariis aliquid, et ne detrahe quicquam præstantissimo poëtarum, viro qui frontem habet.*

SEM. Musa, tu bello repudiato, mecum, cum amico tuo, choreas exerce, Deorum celebrans connubia, hominumque convivia, et beatorum epulas: tibi enim hæc in primis curæ sunt. Si autem Carcinus venerit, et tecum oraverit, ut cum filiis suis

οὐ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον, ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο περὶ τὴν κεφαλήν, φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας, φώκης δ' ὀσμήν, Λαμίας ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου. τοιοῦτον ἰδὼν τέρας οὐ κατέδεισ', ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων, ἀντεῖχον ἀεὶ, καὶ τῶν ἄλλων νήσων. ὧν οὕνεκα νυνὶ ἀποδοῦναί μοι τὴν χάριν ὑμᾶς εἰκὸς, καὶ μνήμονας εἶναι. καὶ γὰρ πρότερον πράξας καλὰ νῦν, οὐχὶ παλαίστρας περινοστῶν παῖδας ἐπείρων· ἀλλ' ἀράμενος τὴν σκευὴν εὐθὺς ἐχώρουν, παῦρ' ἀνιάσας, πόλλ' εὐφράνας, πάντα παρασχὼν τὰ δέοντα.

πρὸς ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ
καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας·
καὶ τοῖς φαλακροῖσι παραινοῦμεν
ξυσπουδάζειν περὶ τῆς νίκης.
πᾶς γάρ τις ἐρεῖ, νικῶντος ἐμοῦ,
κἀπὶ τραπέζῃ καὶ ξυμποσίοις·
Φέρε τῷ φαλακρῷ, δὸς τῷ φαλακρῷ
τῶν τρωγαλίων, καὶ μὴ 'φαίρει
γενναιοτάτου τῶν ποιητῶν,
    ἀνδρὸς τὸ μέτωπον ἔχοντος.

Ημ. Μοῦσα, σὺ μὲν πολέμους
ἀπωσαμένη, μετ' ἐμοῦ
τοῦ φίλου χόρευσον,
κλείουσα θεῶν τε γάμους,
ἀνδρῶν τε δαῖτας,
καὶ θαλίας μακάρων.
σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.
ἢν δέ σε Καρκίνος ἐλθὼν

ἀντιβολῇ μετὰ τῶν
παίδων χορεῦσαι,
μήθ' ὑπακούσῃς, μήτ' ἔλ-
θῃς συνέριθος αὐτοῖς·
ἀλλὰ νόμιζε πάντας
ὄρτυγας οἰκογενεῖς,
γυλιαύχενας ὀρχηστὰς
ναννοφυεῖς, σφυράδων
ἀποκνίσματα,
μηχανοδίφας.
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ,
ὃ παρ' ἐλπίδας
εἶχε τὸ δρᾶμα, γαλῆν
τῆς ἑσπέρας ἀπάγξαι.

Ημ. Τοιάδε χρὴ Χαρίτων
δαμώματα καλλικόμων
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν, ὅταν ἠρινὰ μὲν
φωνῇ χελιδὼν
ἑζομένη κελαδῇ,
χορὸν δὲ μὴ 'χῃ Μόρσιμος,
μηδὲ Μελάνθιος· οὗ δὴ
πικροτάτην ὄπα γη-
ρύσαντος ἤκουσ',
ἡνίκα τῶν τραγῳδῶν
τὸν χορὸν εἶχον ἀδελ-
φός τε καὶ αὐτὸς, ἄμφω
Γοργόνες ὀψοφάγοι,

Digitized by Google

choreas institutas, ne obtemperes, nec eis adjutrix illis: sed puta omnes esse coturnices domesticos, saltatores brevicervicos, statura nanos, caprinorum stercorum ramenta, machinarum inventores. Etenim dixit eorum pater, illud, quod præter spem sibi obtigerat argumentum fabulæ, a mustela vesperi strangulatum fuisse.

Sem. Tales decet Gratiarum pulchricomarum hymnos celebres sapientem poëtam cantare, quando vere novo hirundo sessitans voce perstrepit, et chorum non habet Morsimus, neque Melanthius: cujus acerbissimam vocem garrientis audivi, quum tragicum chorum haberent frater ejus et ipse, ambo Gorgones

Digitized by Google

gulosæ, batidispices, Harpyiæ, anuum fututores, impuri, olentes hircum, piscium pernicies: quos despue screatu magno et largo, diva Musa, et mecum læta festivitatem celebra.

TRYGÆUS, FAMULUS, CHORUS, HIEROCLES.

TRYG. Quantæ molis erat pervenire usque ad deos! mihi hercle fesso dolent oppido crura. Parvi utique desuper intuenti mihi videbamini. De cœlo quidem spectanti videmini sane maligni, hinc autem multo maligniores.

FAM. Venistin', o here?

TRYG. Ut ego audivi ex quodam.

FAM. Qualem expertus es fortunam?

TRYG. Dolent mihi crura, magnum iter emenso.

FAM. Age dic nunc mihi.

TRYG. Quidnam?

FAM. Vidistin' alium quempiam hominem in aëre vagantem præter te ipsum?

TRYG. Non, nisi forte duas aut tres dithyrambicorum poëtarum animas.

FAM. Quid autem faciebant?

TRYG. Volitantes colligebant prooemia nescio quæ, natantium in aëre virorum nugas.

Digitized by Google

βατιδοσκόποι, ἅρπυιαι,
γραοσόβαι, μιαροὶ,
τραγομάσχαλοι,
ἰχθυολῦμαι·
ὧν καταχρεμψαμένη
μέγα καὶ πλατὺ,
Μοῦσα θεὰ, μετ' ἐμοῦ
ξύμπαιζε τὴν ἑορτήν.

ΤΡΥΓΑΙΟΣ, ΟΙΚΕΤΗΣ, ΧΟΡΟΣ, ΙΕΡΟΚΛΗΣ.

Τρ. ΩΣ χαλεπὸν ἦν ἐλθεῖν ἄρ' εὐθὺ τῶν θεῶν.
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη.
μικροὶ δ' ὁρᾶν ἄνωθεν ἦστ' ἔμοιγέ τοι·
ἀπ' οὐρανοῦ φαίνεσθε κακοήθεις πάνυ·
ἐντευθενὶ δὲ πολύ τι κακοηθέστεροι.
Οι. ὦ δέσποθ', ἥκεις;
Τρ. ὡς ἐγὼ 'πυθόμην τινός.
Οι. τί δ' ἔπαθες;
Τρ. ἤλγουν τὼ σκέλη, μακρὰν ὁδὸν
διεληλυθώς.
Οι. ἴθι νυν, κάτειπέ μοι.
Τρ. τὸ τί;
Οι. ἄλλον τιν' εἶδες ἄνδρα κατὰ τὸν ἀέρα
πλανώμενον, πλὴν σαυτόν;
Τρ. οὐκ, εἰ μή γέ που
ψυχὰς δύ' ἢ τρεῖς διθυραμβοδιδασκάλων.
Οι. τί δ' ἔδρων;
Τρ. ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι,
τὰς ἐνδιαεριαυερινηχέτους τινάς.

Digitized by Google

Οι. οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουσι κατὰ τὸν ἀέρα,
ὡς ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ;
Τρ. μάλιστα.
Οι. καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ;
Τρ. Ἴων ὁ Χῖος, ὅσπερ ἐποίησεν πάλαι
ἐνθάδε τὸν ΑΟΙΟΝ ποθ', ὥστε γ' εὐθέως
ΑΟΙΟΝ αὐτὸν πάντες ἐκάλουν ΑΣΤΕΡΑ.
Οι. τίνες γάρ εἰσ' οἱ διατρέχοντες ἀστέρες,
οἳ καόμενοι θέουσιν;
Τρ. ἀπὸ δείπνου τινὲς
τῶν πλουσίων οὗτοι βαδίζουσ' ἀστέρων,
ἰπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.
ἀλλ' εἴσαγ' ὡς τάχιστα ταυτηνὶ λαβών,
καὶ τὴν πύελον κατάκλυζε, καὶ θέρμαιν' ὕδωρ·
στόρνυ τ' ἐμοὶ καὶ τῇδε κουρίδιον λέχος.
καὶ ταῦτα δράσας ἧκε δεῦρ' αὖθις πάλιν·
ἐγὼ δ' ἀποδώσω τήνδε τῇ Βουλῇ τέως.
Οι. πόθεν δ' ἔλαβες ταύτα;
Τρ. πόθεν; ἐκ τῶν οὐρανῶν.
Οι. οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον,
εἰ πορνοβοσκοῦσ', ὥσπερ ἡμεῖς οἱ βροτοί.
Τρ. οὔκ· ἀλλὰ κἀκεῖ ζῶσιν ἀπὸ τούτων τινές.
Οι. ἄγε νυν ἴωμεν. εἰπέ μοι, δῶ καταφαγεῖν
ταύτῃ τι;
Τρ. μηδέν. οὐ γὰρ ἐθελήσει φαγεῖν,
οὔτ' ἄρτον, οὔτε μᾶζαν, εἰωθυῖ' ἀεὶ
παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.
Οι. λείχειν; ἆρ' αὐτῇ καὶ λεκάνην σκευαστέον;

Digitized by Google

Fam. Non ergo illud esse verum in aëre deprehendisti, quod vulgo dicunt, nos stellas fieri, quando quis nostrûm moritur?

Tryg. Maxime.

Fam. Ecquænam est illic nunc stella?

Tryg. Ion Chius, qui olim hic fecit canticum illud *Eoum*, tanta cum approbatione, ut eum statim omnes *Eoum sidus* appellarent.

Fam. Quænam ergo sunt illæ discurrentes stellæ, quæ ardentes cursitant?

Tryg. Sunt illæ quædam e stellis divitibus, quæ a cœna redeunt laternas habentes, et in laternis ignem. Sed adsume ocius istam et introduc eam, et solium elue, et aquam calefac, et sterne mihi atque huic genialem lectum: hisque peractis redi huc. Ego autem alteram hancce reddam Senatui interea.

Fam. Undenam vero has accepisti?

Tryg. Unde? nempe ex cœlis.

Fam. Haud ego jam deos faciam trioboli, si lenocinium faciunt, uti nos homines.

Tryg. Non quidem ita solent: sunt tamen inter illos quidam, qui ex hoc quæstu sibi victum parant.

Fam. Age ergo eamus. Dic mihi, aliquidne huic comedendum dabo?

Tryg. Nihil. Nam nolet comedere, nec panem, nec mazam, solita semper apud superos ambrosiam lingere.

Fam. Ain' *lingere?* Ergo ei pelvis etiam paranda est.

Digitized by Google

CHOR. Sane feliciter senex iste, quantum videre licet, nunc rem gerit.

TRYG. Quid ergo, quum sponsum me videbitis nitidum?

CHOR. Dignus eris, quem omnes beatum prædicent, mi senex, rursus juvenis factus, unguento delibutus.

TRYG. Opinor. Quid vero, quando cum illa concumbens papillas prehendam?

CHOR. Fortunatior videberis, quam Carcini strobili.

TRYG. Nonne vero merito? qui scarabæo invectus servavi Græcos, ita ut omnes in agris degentes tuto jam futuant et dormiant.

FAM. Lavit puella, et recte se habent circa nates omnia? placenta cocta est; libum sesaminum conficitur; ceteraque parata sunt omnia: sed pene opus est.

TRYG. Age ergo reddamus Theoriam hancce Senatui propere.

FAM. Quænam est hæc mulier? quid ais?

TRYG. Theoria illa est, quam nos aliquando madidi subagitavimus, Brauronem eam deducentes: hoc certo scias, et vix potuit capi.

FAM. O nere, quantam culus iste quinto quoque anno voluptatem adfert!

TRYG. Eia, quis vestrûm est justus? quisnam? quis hanc ad se receptam custodiet Senatui? Heus tu, quamnam hic delineationem facis?

FAM. Quid, malum, rogas? ad Isthmia tentorium peni meo designo.

Digitized by Google

Χο. εὐδαιμονικῶς ὁ πρεσ-
βύτης, ὅσα γ' ἔστ' ἰδεῖν,
τανῦν ὅδε πράττει.
Τρ. τί δῆτ', ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα;
Χο. ζηλωτὸς ἔσει, γέρον,
αὖθις νέος ὢν πάλιν,
μύρῳ κατάλειπτος.
Τρ. οἶμαι. τί δῆθ', ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι;
Χο. εὐδαιμονέστερος φανεῖ τῶν Καρκίνου στροβίλων.
Τρ. οὔκουν δικαίως; ὅστις, εἰς ὄχημα κανθάρο βὰς,
ἔσωσα τοὺς Ἕλληνας, ὥστ' ἐν τοῖς ἀγροῖσιν αὐτοὺς
ἅπαντας ὄντας ἀσφαλῶς κινεῖν τε καὶ καθεύδειν.
Οι. ἡ παῖς λέλουται, καὶ τὰ τῆς πυγῆς καλά·
ὁ πλακοῦς πέπεπται, σησαμοῦς ξυμπλάττεται,
καὶ τἆλλ' ἁπαξάπαντα· τοῦ πέους δὲ δεῖ.
Τρ. ἴθι νυν ἀποδῶμεν τήνδε τὴν Θεωρίαν
ἀνύσαντε τῇ Βουλῇ.
Οι. τίς ἔσθ' αὕτη; τί φῄς;
Τρ. αὕτη Θεωρία 'στὶν, ἣν ἡμεῖς ποτε
ἐπαίομεν Βραυρῶναδ' ὑποπεπωκότες·
σάφ' ἴσθι, κἀλήφθη γε μόλις.
Οι. ὦ δέσποτα,
ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα.
Τρ. εἶεν· τίς ἔσθ' ὑμῶν δίκαιος; τίς ποτε;
τίς διαφυλάξει τήνδε τῇ Βουλῇ λαβών;
οὗτος, τί περιγράφεις;
Οι. τὸ δεῖν', ἐς Ἴσθμια
σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.

Digitized by Google

Τρ. οὔπω λέγεθ' ὑμεῖς, τίς ὁ φυλάξων; δεῦρο σύ.
καταθήσομαι γὰρ εἰς μέσους αὐτοὺς ἄγων.
Οι. ἐκεινοσὶ νεύει.
Τρ. τίς;
Οι. ὅστις; Ἀριφράδης,
ἄγειν παρ' αὐτὸν ἀντιβολῶν.
Τρ. ἀλλ', ὦ μέλε,
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
Βουλή, Πρυτάνεις, ὁρᾶτε τὴν Θεωρίαν.
σκέψασθ' ὅσ' ὑμῖν ἀγαθὰ παραδώσω φέρων,
ὥστ' εὐθέως ἄραντας ὑμᾶς τὼ σκέλη
ταύτης μετέωρα καταγαγεῖν ἀνάῤῥυσιν.
τουτὶ δ' ὁρᾶτε τοὐπτάνιον ὑμῖν καλόν.
διὰ ταῦτα καὶ κεκάπνικεν ἄρ'· ἐνταῦθα γὰρ
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ Βουλῇ ποτ' ἦν.
ἔπειτ' ἀγῶνά γ' εὐθὺς ἐξέσται ποιεῖν
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ,
ἐπὶ γῆς παλαίειν, τετραποδηδὸν ἑστάναι,
καὶ παγκράτιόν γ' ὑπαλειψαμένοις νεανικῶς
παίειν, ὀρύττειν, πὺξ ὁμοῦ καὶ τῷ πέει·
τρίτῃ δὲ μετὰ ταῦθ' ἱπποδρομίαν ἄξετε,
ἡνίκα γε κέλης κέλητα παρακελητιεῖ,
ἅρματα δ' ἐπ' ἀλλήλοισιν ἀνατετραμμένα,
φυσῶντα καὶ πνέοντα προσκινήσεται·
ἕτεροι δὲ κείσονταί γ' ἀπεψωλημένοι
περὶ ταῖσι κάμπταις ἡνίοχοι πεπτωκότες.
ἀλλ', ὦ Πρυτάνεις, δέχεσθε τὴν Θεωρίαν.

Digitized by Google

TRYG. Nondum dicitis vos, quis sit custoditurus? Huc ades tu; deponam enim te in medium adductam.

FAM. Iste innuit.

TRYG. Quis?

FAM. Rogas? Ariphrades, obsecrans ut ad se adducatur.

TRYG. Sed, ô stulte, succum ejus lambendo hauriet irruens. Agedum tu depone prius hanc supellectilem humi. Senatus, vosque Prytanes, videte hanc Theoriam: spectate quanta bona vobis adferens tradam, ita ut statim possitis sustollentes crura hujus in sublime patrare sacra. Hancce culinam videte quam sit pulchra: propterea etiam fuligine nigra est: istic enim, antequam bellum oriretur, Senatui ollæ stabant olim. Deinde cras statim nobis hanc habentibus certamina licebit instituere pulcherrima, humi luctari, quadrupedum in morem stare, unctisque ritu pancratio certantium strenue ferire, fodicare, simul pugnis et pene. Post autem tertia die cursus equestres instituetis, ubi singulator singulatorem prævertet, currusque super curribus eversi flantes et spirantes mutuis movebuntur succussibus: alii autem jacebunt recutiti aurigæ lapsi circa metam. Sed, ô Prytanes, accipite Theoriam. Hem, quam lubenter

Digitized by Google

adsumsit eam iste Prytanis! at non faceres, si quid gratiis introducendum ad Senatum fuisset tibi, sed vidissem te prætendentem vacationem simulque manum accipiendo muneri.

Chor. Certe de omnibus bene meretur civis similis tui.

Tryg. Quum vindemiabitis, multo magis scietis qualis sim.

Chor. Nunc etiam id satis tu quidem ostendis. Servator enim omnibus hominibus es factus.

Tryg. Quid ergo dices, quum ebibes musti poculum?

Chor. Immo secundum deos tibi semper primas deferemus.

Tryg. Optime enim de vobis promeritus sum ille ego Trygæus Athmonensis, qui gravissimis ærumnis liberavi plebeiam turbam, populumque agrestem: quique Hyperbolum repressi.

Chor. Age vero, quid deinceps nobis faciendum est?

Tryg. Quid aliud, nisi hanc dedicemus adhibitis leguminum ollis?

Chor. Ollisne? tanquam querulum Hermulam?

Tryg. Quid ergo videtur? vultisne saginato bove?

Chor. Bove, inquis? nequaquam, ne suppetias aliquorsum currere oporteat.

Tryg. Num ergo porca pingui et magna?

Chor. Minime.

Tryg. Cur?

Chor. Ne fiat porcina Theagenis spurcitia.

Tryg. Quanam ergo sodes ex ceteris victimis censes?

Chor. Ove.

Tryg. Ove?

Digitized by Google

ἴδ', ὡς προθύμως ὁ Πρύτανις παρεδέξατο.
ἀλλ' οὐκ ἄν, εἴ τι προῖκα προσαγαγεῖν σ' ἔδει·
ἀλλ' εὗρον ἄν σ' ὑπέχοντα τὴν ἐκεχειρίαν.

Χο. ἦ χρηστὸς ἀνὴρ πολί-
τῆς ἐστὶν ἅπασιν, ὅσ-
τις γ' ἐστὶ τοιοῦτος.

Τρ. ὅταν τρυγᾶτ', εἴσεσθε πολλῷ μᾶλλον οἷός εἰμι.

Χο. καὶ νῦν σύ γε δῆλος εἶ·
σωτὴρ γὰρ ἅπασιν ἀν-
θρώποις γεγένησαι.

Τρ. φήσεις, ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν.

Χο. καὶ, πλήν γε τῶν θεῶν, ἀεί σ' ἡγησόμεσθα πρῶτον.

Τρ. πολλῶν γὰρ ὑμῖν ἄξιος
Τρυγαῖος ὡθμονεὺς ἐγὼ,
δεινῶν ἀπαλλάξας πόνων τὸν δημότην ὅμιλον,
καὶ τὸν γεωργικὸν λεὼν, Ὑπέρβολόν τε παύσας.

Χο. ἄγε δὴ, τί νῷν ἐντευθενὶ ποιητέον;

Τρ. τί δ' ἄλλο γ', ἢ ταύτην χύτραις ἱδρυτέον;

Χο. χύτραισιν; ὥσπερ μεμφόμενον Ἑρμίδιον;

Τρ. τί δαὶ δοκεῖ; βούλεσθε Λαρινῷ βοΐ;

Χο. βοΐ; μηδαμῶς, ἵνα μὴ βοηθεῖν ποι δέοι.

Τρ. ἀλλ' ὑῒ παχείᾳ καὶ μεγάλῃ;

Χο. μὴ, μή.

Τρ. τιή;

Χο. ἵνα μὴ γένηται Θεαγένους ὑηνία.

Τρ. τί δὴ δοκεῖ σοι δῆτα τῶν λοιπῶν;

Χο. ὀΐ.

Τρ. ὀΐ;

Digitized by Google

Χο. ναὶ μὰ Δί'.
Τρ. ἀλλὰ τοῦτό γ' ἔστ' Ἰωνικὸν
τὸ ῥῆμά γ'.
Χο. ἐπίτηδές γ', ἵν', εἰ τῇ 'κκλησίᾳ
ὡς χρὴ πολεμεῖν λέγοι τις, οἱ καθήμενοι
ὑπὸ τοῦ δέους λέγωσ' Ἰωνικῶς οἴ.—
Τρ. εὖ τοι λέγεις.
Χο. καὶ τἄλλα γ' ὦσιν ἤπιοι·
ὥστ' ἐσόμεθ' ἀλλήλοισιν ἀμνοὶ τοὺς τρόπους,
καὶ τοῖσι συμμάχοισι πραότεροι πολύ.
Τρ. ἴθι νυν, ἄγ' ὡς τάχιστα τὸ πρόβατον λαβών·
ἐγὼ δὲποριῶ βωμὸν ἐφ' ὅτου θύσομεν.
Χο. ὡς πάνθ' ὅσ' ἂν θεὸς θέλῃ γε, χ' ἡ Τύχη κατορθοῖ,
χωρεῖ κατὰ νοῦν, ἕτερον δ' ἑτέρῳ
τούτων κατὰ καιρὸν ἀπαντᾷ.
Τρ. ὡς ταῦτα δῆλά γ' ἔσθ'· ὁ γὰρ βωμὸς θύρασι καὶ δή.
Χο. ἐπείγετε νῦν, ἐν ὅσῳ
σοβαρὰ θεόθεν κατέχει πολέμου
μετάτροπος αὔρα.
νῦν γὰρ δαίμων φανερῶς
εἰς ἀγαθὰ μεταβιβάζει.

Τρυγαῖος.

τὸ κανοῦν πάρεστιν, ὀλὰς ἔχον, καὶ στέμμα, καὶ μάχαιραν,
καὶ πῦρ γε τουτὶ, κοὐδὲν ἴσχει, πλὴν τὸ πρόβατον, ἡμᾶς.
Χο. οὔκουν ἁμιλλήσεσθον;
ὡς, Χαῖρις ἢν ὑμᾶς ἴδῃ,
πρόσεισιν αὐλήσων ἄκλη-
τος, κᾆτα, τοῦτ' εὖ οἶδ' ἐγὼ,

Digitized by Google

Chor. Ita hercle.

Tryg. Sed est Ionicum hoc vobabulum.

Chor. De industria, ut, si in concione quis dixerit bellum esse gerendum, tum qui illic sedebunt, præ metu dicant Ionice, *Ovæ!*

Tryg. Recte utique dicis.

Chor. Et sint cetera lenes: atque ita alii erga alios erimus animo agnino, erga socios autem multo mitiores.

Tryg. Age ergo adduc quam citissime ovem: ego interea aram parabo, in qua sacrificabimus.

Chor. En ut omnia quæ Deus vult, fortunaque secundat, procedunt ex sententia, aliaque aliis istorum opportuno tempore sese offerunt!

Tryg. Hoc utique satis apparet: nam ara, ecce, jam foris est.

Chor. Festinate ergo, dum divino jussu impetum cohibet conversa belli aura. Nunc enim Deus palam res in melius refert.

Tryg. Canistrum adest, cui mola salsa inest, et corona, et culter: ecce etiam ignem, nec, præter ovem, nobis quicquam moræ est.

Chor. Nonne ergo omni studio festinabitis? Nam si Chæris vos viderit, invocatus accedet, ut canat tibiis, et certo scio vos

ei flanti seque ipsum fatiganti daturos tandem aliquid.

Tryg. Agedum tu sume canistrum et gutturnium, atque circumi aram ocius dextrorsum.

Fam. Ecce circumivi: aliud jam impera.

Tryg. Agedum torrem hunc in aquam immergam: tu concute ocius: tu autem porrige salsæ partem molæ; ipseque fac lustreris, tradita mihi hac face: projice spectatoribus etiam aliquantum frugum.

Fam. En.

Tryg. Jamne dedisti?

Fam. Ita mehercle: nec istorum quotquot sunt spectatorum ullus est, quin habeat hordeum.

Tryg. Nonne etiam mulieres acceperunt?

Fam. Sed ad vesperam dabunt eis viri.

Tryg. Quin precamur? Quis hîc adest? ubinam sunt multi et boni?

Fam. Age dem istis: multi enim sunt et boni.

Tryg. Istosne putasti bonos esse?

Fam. Quippini? qui nimirum, quum eos tanta aqua perfuderimus, in eundem istum veniunt et consistunt locum.

Tryg. Sed quam primum precemur; precemur jam. O veneranda regina, Dea honoranda, Pax, domina chororum, domina nuptiarum, accipe sacrificium nostrum.

Digitized by Google

φυσῶντι καὶ πανουμένῳ
προσδώσετε δήπου.

Τρ. ἄγε δὴ, τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα,
περίϊθι τὸν βωμὸν ταχέως ἐπιδέξια.
Οι. ἰδού· λέγοις ἂν ἄλλο· περιελήλυθα.
Τρ. φέρε δὴ, τὸ δαδίον τόδ' ἐμβάψω λαβών.
σείου σὺ ταχέως· σὺ δὲ πρότεινε τῶν ὀλῶν,
καὐτός τε χερνίπτου, παραδοὺς ταύτην ἐμοὶ,
καὶ τοῖσι θεαταῖς ῥίπτε τῶν κριθῶν.
Οι. ἰδού.
Τρ. ἔδωκας ἤδη;
Οι. νὴ τὸν Ἑρμῆν, ὥστε γε
τούτων, ὅσοιπερ εἰσὶ, τῶν θεωμένων
οὐκ ἔστιν οὐδεὶς, ὅστις οὐ κριθὴν ἔχει.
Τρ. οὐχ αἱ γυναῖκες ἔλαβον;
Οι. ἀλλ' ἐς ἑσπέραν
δώσουσιν αὐταῖς ᾦνδρες.
Τρ. ἀλλ' εὐχώμεθα.
τίς τῇδε; ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί.
Οι. τούτοις φέρε δῶ· πολλοὶ γάρ εἰσι κἀγαθοί.
Τρ. τούτους ἀγαθοὺς ἐνόμισας;
Οι. οὐ γὰρ, οἵ τινες,
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονὶ,
ἐς ταυτὸ τοῦθ' ἑστᾶσ' ἰόντες χωρίον;
Τρ. ἀλλ' ὡς τάχιστ' εὐχώμεθ', εὐχώμεσθα δή.
ὦ σεμνοτάτη βασίλεια, θεὰ
πότνι' Εἰρήνη,
δέσποινα χορῶν, δέσποινα γάμων,

Digitized by Google

δέξαι θυσίαν τὴν ἡμετέραν.
Χο. δέξαι δῆτ', ὦ πολυτιμήτη,
νὴ Δία, καὶ μὴ ποίει γ', ἅπερ αἱ
μοιχευόμεναι δρῶσι γυναῖκες.
καὶ γὰρ ἐκεῖναι παρακλίνασαι
τῆς αὐλείας παρακύπτουσιν·
κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς,
ἀναχωροῦσιν·
κᾆτ', ἢν ἀπίῃ, παρακύπτουσιν.
τούτων σὺ ποίει μηδὲν ἔθ' ἡμᾶς.
Τρ. μὰ Δί', ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν
γενναιοπρεπῶς τοῖσιν ἐρασταῖς
ἡμῖν, οἵ σου τρυχόμεθ' ἤδη
τρία καὶ δέκ' ἔτη.
λῦσον δὲ μάχας καὶ κορκορυγάς,
ἵνα Λυσιμάχην σε καλῶμεν.
παῦσον δ' ἡμῶν τὰς ὑπονοίας
τὰς περικόμψους, αἷς στωμυλλόμεθ'
εἰς ἀλλήλους· μῖξον δ' ἡμᾶς
τοὺς Ἕλληνας πάλιν ἐξ ἀρχῆς
φιλίας χυλῷ, καὶ ξυγγνώμῃ
τινὶ πραοτέρᾳ κέρασον τὸν νοῦν.
καὶ τὴν ἀγορὰν ἡμῖν ἀγαθῶν
ἐμπλησθῆναι, μεγάλων σκορόδων,
σικύων πρῴων, μήλων, ῥοιῶν,
δούλοισι χλανισκιδίων μικρῶν·
κἀκ Βοιωτῶν γε φέροντας ἰδεῖν
χῆνας, νήττας, φάττας, τροχίλους·

Digitized by Google

Chor. Accipe, obsecro, ô carissima; nec fac itidem, ut so-nt mulieres adulteræ. Quippe illæ semiadapertis foribus pros-ectant; et siquis advertat ipsis animum, recedunt; deinde, si beat, prospectant rursus. Tu nihil horum fac itidem nobis.

Tryg. Ne hercle feceris, sed ostende totam te ipsam, ut in-enuam decet, amatoribus nobis, qui tui desiderio tertium jam t decimum maceramur annum. Dissolve pugnas et tumul-us, ut Lysimacham te vocemus. Compesce festivas illas nos-ras suspiciones, quibus adducti nugas garrientes alii alios ca-umniamur: et tempera nos Græcos denuo amicitiæ succo, et gnoscendi voluntatem mitiorem admisce mentibus nostris. Effi-e, ut forum nostrum bonis rebus abundet, grandibus alliis, ucumeribus præcocibus pomis, malis punicis, lænis parvis a usum servorum: et ex Bœotia ut videamus multos, qui

Digitized by Google

ferant anseres; anates, palumbes, trochilos: et Copaïdum anguillarum ut sportæ veniant, utque circa eas conferti nos opsonantes in turba luctemur cum Morycho, Telea, Glauceta, aliisque helluonibus multis; deinde Melanthius ut veniat posterior ad forum, illæ autem venditæ jam sint, et iste ejulet, deinde ex Medea sic lamentetur: *Perii, perii, postquam e manibus exciderunt mihi* anguillæ in betis delitescentes: et homines ut ejus malis gaudeant. Hæc, o veneranda, precantibus nobis da.

Fam. Cape cultrum, et scite, ut coquum decet, fac mactes ovem.

Tryg. Sed fas non est.

Fam. Quamobrem?

Tryg. Nimirum Pax non gaudet cæde, nec cruentatur ejus ara; sed intro ablatam victimam macta, femoraque exemta huc effer: et sic ovis præbitori servatur.

Chor. Te ergo foris nunc manentem oportet assulas huc reponere ocius, ceteraque insuper quæ ad rem sacram pertinent.

Tryg. Nonne tibi aruspicum ritu videor cremium ponere?

Chor. Quippini? Quid enim te fugit, quod requiri possit in sapiente viro? aut quid non pervides mente, quod pervidere oporteat illum, cujus probata est solertia, expeditaque animi audacia?

Digitized by Google

καὶ Κωπαΐδων ἐλθεῖν σπυρίδας,
καὶ περὶ ταύτας ἡμᾶς ἀθρόους
ὀψωνοῦντας τυρβάζεσθαι
Μορύχῳ, Τελέᾳ, Γλαυκέτῃ, ἄλλοις
τένθαις πολλοῖς. κᾆτα Μελάνθιον
ἥκειν ὕστερον εἰς τὴν ἀγοράν·
τὰς δὲ πεπρᾶσθαι, τὸν δ' ὀτοτύζειν·
εἶτα μονῳδεῖν ἐκ Μηδείας,
ΟΛΟΜΑΝ, ΟΛΟΜΑΝ, ΑΠΟΧΕΙΡΩΘΕΙΣ
τὰς ἐν τεύτλοισι λοχευομένας·
τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν.
ταῦτ', ὦ πολυτίμητ', εὐχομένοις ἡμῖν δίδου.

Οι. λαβὲ τὴν μάχαιραν· εἶθ' ὅπως μαγειρικῶς
σφάξεις τὸν οἶν.

Τρ. ἀλλ' οὐ θέμις.

Οι. τιὴ τί δή;

Τρ. οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς,
οὐδ' αἱματοῦται βωμός. ἀλλ' εἴσω φέρων,
θύσας, τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε,
χ' οὕτω τὸ πρόβατον τῷ χορηγῷ σώζεται.

Χο. σὲ δὴ θύραισι χρὴ μένοντα νῦν
σχίζας δευρὶ τιθέναι ταχέως
τά τε πρόσφορ' ἅπαντ' ἐπὶ τούτοις.

Τρ. οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι;

Χο. πῶς δ' οὐχί; τί γάρ σε πέφευγ', ὅσα χρὴ
σοφὸν ἄνδρα; τί δ' οὐ σὺ φρονεῖς, ὁπόσα
χρεὼν ἐστι τὸν σοφῇ δόκιμον
φρενὶ, πορίμῳ τε τόλμῃ;

Digitized by Google

Τρ. ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει,
καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει.

Χο. τίς οὐκ ἂν ἐπαινέσει-
εν ἄνδρα τοιοῦτον, ὅσ-
τις πόλλ' ἀνατλὰς, ἔσω-
σε τὴν ἱερὰν πόλιν;
ὥστ' οὐχὶ μὴ παύσει ποτ' ὢν
ζηλωτὸς ἅπασιν.

Οι. ταυτὶ δέδραται. τίθεσο τὼ μηρὼ λαβών·
ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.

Τρ. ἐμοὶ μελήσει ταῦτά γ'· ἀλλ' ἥκειν ἐχρῆν.

Οι. ἰδοὺ πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;

Τρ. ὄπτα καλῶς νῦν ταῦτα· καὶ γὰρ οὑτοσὶ
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
τίς ἄρα ποτ' ἐστίν;

Οι. ὡς ἀλαζὼν φαίνεται·
μάντις τίς ἐστιν.

Τρ. οὐ μὰ Δί', ἀλλ' Ἱεροκλέης.

Οι. αὐτός γέ που 'σθ' ὁ χρησμολόγος, οὑξ Ὠρεοῦ.
τί ποτ' ἄρα λέξει;

Τρ. δῆλος ἔσθ' οὗτός γ', ὅτι
ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.

Οι. οὔκ· ἀλλὰ κατὰ τὴν κνίσσαν εἰσελήλυθε.

Τρ. μὴ νῦν ὁρᾶν δοκῶμεν αὐτόν.

Οι. εὖ λέγεις.

Ιε. τίς ἡ θυσία ποθ' αὑτηΐ, καὶ τῷ θεῶν;

Τρ. ὄπτα σιωπῇ, κἄπαγ' ἀπὸ τῆς ὀσφύος.

Ιε. ὅτῳ δὲ θύετ', οὐ φράσεθ';

Digitized by Google

Tryg. Assula incensa Stilbidem fumo premit. Mensam etiam adferam; nec opus erit famulo.

Chor. Quis non laudaret hujuscemodi virum, qui multa perpessus, servavit sacram urbem? quare nunquam non habebitur admirandus omnibus.

Fam. Peracta sunt quæ imperasti. Cape femora hæc et in ignem impone: ego vero ad exta et liba ibo.

Tryg. Mihi erunt ista curæ. Sed jam venisse te oportebat.

Fam. Ecce adsum: num cessasse tibi videor?

Tryg. Assato nunc ista probe: namque eccum accedit aliquis lauro coronatus. Quis homo est tandem?

Fam. Quam arrogans videtur! Vates est aliquis.

Tryg. Non hercle, sed Hierocles.

Fam. Ille ipse nimirum est ex Orco sortilegus. Quidnam porro dicturus est?

Tryg. Satis apparet illum adversaturum paci.

Fam. Minime: sed ad nidorem ingressus est.

Tryg. Adsimulemus, quasi non videamus eum.

Fam. Recte dicis.

Hier. Quodnam hoc est sacrificium, et cuinam fit deo?

Tryg. Assato tu tacite, et cave ne lumbum adtigas.

Hier. Nonne dicetis cuinam deorum sacrificatis?

Digitized by Google

Tryg. Num cauda bene habet?

Fam. Bene sane, o diva Pax amica.

Hier. Age proseca nunc, et prosicias da.

Tryg. Præstat prius assare.

Hier. Atqui hæc jam sunt assata.

Tryg. Nimis curiosus es, quisquis es. Disseca: ubi mensa? libamentum cedo.

Hier. Lingua seorsum præciditur.

Tryg. Meminimus. Sed scin' quid facias?

Hier. Si dixeris.

Tryg. Ne loquere nobiscum quicquam. Nam sanctæ Paci sacra facimus.

Hier. O miseri mortales et insipientes---

Tryg. In caput tuum vertat.

Hier. Qui præ stoliditate Deûm voluntatem non intelligentes fœdus iniistis viri cum truculentis simiis---

Fam. Ha ha he.

Tryg. Quid rides?

Fam. Faceti mihi videntur truculenti simii.

Hier. Et stupidæ columbæ vulpeculis creditis, quarum dolosa mens, dolosum ingenium.

Tryg. Utinam fiat tuus pulmo tam calidus, ô jactator, quam sunt hæc exta!

Hier. Nisi enim Nymphæ deæ Bacin deceperunt, nec Bacis mortales, nec rursus Nymphæ Bacin ipsum---

Digitized by Google

Τρ. ἡ κέρκος ποιεῖ
καλῶς;
Οι. καλῶς δῆτ', ὦ πότνι' Εἰρήνη φίλη.
Ιε. ἄγε νυν ἀπάρχου, κᾆτα δὸς τἀπάργματα.
Τρ. ὀπτᾷν ἄμεινον πρῶτον.
Ιε. ἀλλὰ ταυταγὶ
ἤδη 'στὶν ὀπτά.
Τρ. πολλὰ πράττεις, ὅστις εἶ.
κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
Ιε. ἡ γλῶττα χωρὶς τέμνεται.
Τρ. μεμνήμεθα.
ἀλλ' οἶσθ' ὃ δρᾶσον;
Ιε. ἢν φράσῃς.
Τρ. μὴ διαλέγου
νῷν μηδέν· Εἰρήνῃ γὰρ ἱερᾷ θύομεν.
Ιε. ὦ μέλεοι θνητοὶ, καὶ νήπιοι---
Τρ. ἐς κεφαλήν σοι.
Ιε. οἵ τινες, ἀφραδίῃσι θεῶν νόον οὐκ ἀΐοντες,
συνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις---
Οι. αἰβοῖ, βοῖ.
Τρ. τί γελᾷς;
Οι. ἥσθην χαροποῖσι πιθήκοις.
Ιε. καὶ κέπφοι τρήρωνες ἀλωπεκιδεῦσι πέπεισθε,
ὧν δόλιαι ψυχαὶ, δόλιαι φρένες.
Τρ. εἴθε σου εἶναι
ὤφελεν, ὦ 'λαζὼν, οὑτωσὶ θερμὸς ὁ πλεύμων.
Ιε. εἰ γὰρ μὴ Νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασκον,
μηδὲ Βάκις θνητοὺς, μηδ' αὖ Νύμφαι Βάκιν αὐτὸν---

Digitized by Google

Τρ. ἐξώλης ἀπόλοι', εἰ μὴ παύσαιο βακίζων.
Ιε. οὔπω θέσφατον ἦν Εἰρήνης δέσμ' ἀναλῦσαι,
ἀλλὰ τότε πρῶτον—
Τρ. τοῖς ἁλσί γε πάστεα ταυτί.
Ιε. οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσι
φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ·
ἕως ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,
χ' ἡ κώδων ἀκαλανθὶς ἐπειγομένη τυφλὰ τίκτει,
τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.
Τρ. ἀλλὰ τί χρῆν; ἡμᾶς οὐ παύσασθαι πολεμοῦντας,
ἢ διακαυνιάσαι, πότεροι κλαυσούμεθα μείζω,
ἐξὸν σπεισαμένοις κοινῇ τῆς Ἑλλάδος ἄρχειν;
Ιε. οὔ ποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.
Τρ. οὔ ποτε δειπνήσεις τοῦ λοιποῦ γ' ἐν Πρυτανείῳ,
οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.
Ιε. οὐδέποτ' ἂν θείης λεῖον τὸν τραχὺν ἐχῖνον.
Τρ. ἆρα φενακίζων ποτ' Ἀθηναίους ἔτι παύσει;
Ιε. ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μῆρα θεοῖσιν;
Τρ. ὅνπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος·
Ὣς οἱ μὲν, νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο,
Εἰρήνην εἵλοντο, καὶ ἱδρύσανθ' ἱερείῳ.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
ἔσπενδον δεπάεσσιν· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον·
χρησμολόγῳ δ' οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
Ιε. οὐ μετέχω τούτων· οὐ γὰρ ταῦτ' εἶπε Σίβυλλα.
Τρ. ἀλλ' ὁ σοφός τοι, νὴ Δί', Ὅμηρος δεξιὸν εἶπεν·
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

Digitized by Google

Tryg. Dii te eradicent, ni bacissare desinis.

Hier. Non erat in fatis, ut jam dissolverentur vincula Pacis, sed tunc primum—

Tryg. Sale conspergenda hæc sunt.

Hier. Nondum enim placet beatis diis, ut a bello desistamus, antequam lupus ovem ineat. Dum blatta fugiendo visiens teterrimum emittet fœtorem, et clamosa canis partus concitata stimulis cœcos gignet, tamdiu nondum oportebat pacem fieri.

Tryg. Quid ergo facere nos oportebat? num a bello non desistere? aut sortiri utri ploraturi essemus magis, quum liceret nobis, inito fœdere, Græciæ communiter imperare?

Hier. Nunquam efficies, ut cancer incedat recte.

Tryg. Nunquam cœnabis posthac in Prytaneo; neque, postquam res peracta est, vaticinia facies deinceps.

Hier. Asperum erinaceum nunquam reddideris levem.

Tryg. Num Atheniensibus verba dare aliquando desines?

Hier. Quo enim oraculo jussi victimæ femora adolevistis diis?

Tryg. Isto nimirum, quod pulcherrimum fecit Homerus: *Sic illi quidem inimica belli nube depulsa, Pacem amplexi sunt, et eam dedicarunt mactata victima. Sed postquam femora combusta fuere, visceribus pasti libarunt poculis: ego autem dux eram viæ: at sortilego nemo dabat calicem fulgentem.*

Hier. Hæc non ad me pertinent: non enim hoc dixit Sibylla.

Tryg. At sapiens ille mehercle Homerus perquam scite dixit: *Nec tribules, nec legem, nec Larem habet ille, qui bellum amat intestinum horrendum.*

Digitized by Google

Hier. Vide ne dolo aliquo mentem tuam decipiens miluus, corripiat.

Tryg. *(ad famulum)*. Istuc tu cave: nam hoc metuendum est extis oraculum. Infunde vero libamen, et extorum partem huc cedo.

Hier. Sed si vobis ita faciendum videtur, ipsemet etiam ego mihi ministrabo.

Tryg. Libamen, libamen.

Hier. Infunde mihi etiam et extorum partem porrige.

Tryg. At nondum hoc placet beatis diis: sed istud potius, ut nos libemus, tu autem abeas. O veneranda Pax, permane nobiscum omni vitæ tempore.

Hier. Affer huc mihi linguam.

Tryg. Tu vero tuam hinc aufer.

Hier. Libamen.

Tryg. *(ad famulum)*. Hæc etiam cum libamine sume ocius.

Hier. Nemone dabit mihi de extis aliquid?

Tryg. Non enim possumus nos prius dare, antequam lupus ovem ineat.

Hier. Immo per genua te obsecro.

Tryg. Frustra, ô bone, supplicas: non enim levem reddes asperum erinaceum. Agite, spectatores, adeste, comedite exta nobiscum.

Hier. Ego vero quid?

Tryg. Sibyllam comede.

Hier. Haud sane, per Tellurem adjuro, vos hæc comedetis soli; sed abripiam ea vobis: sunt enim in medio posita.

Tryg. Percute, percute, percute istum Bacin.

Digitized by Google

Ιε. φράζεο δὴ, μή πως σε δόλῳ φρένας ἐξαπατήσας
ἴκτινος μάρψῃ.
Τρ. τουτὶ μέντοι σὺ φυλάττου,
ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός.
ἔγχει δὲ σπονδὴν, καὶ τῶν σπλάγχνων φέρε δευρί.
Ιε. ἀλλ', εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω.
Τρ. σπονδὴ, σπονδή.
Ιε. ἔγχει δὴ κἀμοὶ, καὶ σπλάγχνων μοῖραν ὄρεξον.
Τρ. ἀλλ' οὔπω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν·
ἀλλὰ τόδε πρότερον, σπένδειν ἡμᾶς, σὲ δ' ἀπελθεῖν.
ὦ πότνι' Εἰρήνη, παράμεινον τὸν βίον ἡμῖν.
Ιε. πρόσφερε τὴν γλῶτταν.
Τρ. σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκε.
Ιε. σπονδή.
Τρ. καὶ ταυτὶ μετὰ τῆς σπονδῆς λαβὲ θᾶττον.
Ιε. οὐδεὶς δώσει μοι τῶν σπλάγχνων;
Τρ. οὐ γὰρ οἷόν τε
ἡμῖν πρὶν διδόναι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.
Ιε. ναὶ πρὸς τῶν γονάτων.
Τρ. ἄλλως, ὦ 'τὰν ἱκετεύεις·
οὐ γὰρ ποιήσεις λεῖον τὸν τραχὺν ἐχῖνον.
ἄγε δὴ, θεαταὶ, δεῦρο συσπλαγχνεύετε
μετὰ νῷν.
Ιε. τί δ' ἔγωγε;
Τρ. τὴν Σίβυλλαν ἔσθιε.
Ιε. οὔ τοι, μὰ τὴν Γῆν, ταῦτα κατέδεσθον μόνω,
ἀλλ' ἁρπάσομαι σφῷν αὐτά. κεῖται δ' ἐν μέσῳ.
Τρ. παῖ, παῖε, παῖε τὸν Βάκιν.

Digitized by Google

Ιε. μαρτύρομαι.
Τρ. κἄγωγ', ὅτι τένθης εἶ σὺ κἀλαζὼν ἀνήρ.
παῖ' αὐτὸν, ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.
Οι. σὺ μὲν οὖν· ἐγὼ δὲ τουτονὶ τῶν κῳδίων,
ἃ 'λάμβαν' αὐτὸς ἐξαπατῶν, ἐκβολβιῶ.
οὐ καταβαλεῖς τὰ κῴδι', ὦ θυηπόλε;
ἤκουσας; ὁ κόραξ οἷος ἦλθ' ἐξ 'Ωρεοῦ.
οὐκ ἀποπετήσει θᾶττον εἰς 'Ελύμνιον;
Ημ. ἥδομαι, ἥδομαι,
κράνους ἀπηλλαγμένος,
τυροῦ τε καὶ κρομμύων.
οὐ γὰρ φιληδῶ μάχαις,
ἀλλὰ πρὸς πῦρ διέλκων
μετ' ἀνδρῶν ἑταίρων φίλων,
συγκέας τῶν ξύλων, ἅττ' ἂν ᾖ
δανότατα τοῦ θέρους
ἐκπεπιεσμένα,
κἀνθρακίζων τοῦ 'ρεβίνθου,
τήν τε φηγὸν ἐμπυρεύων,
χἄμα τὴν Θρᾷτταν κυνῶν,
τῆς γυναικὸς λουμένης.
οὐ γὰρ ἔσθ' ἥδιον, ἢ τυχεῖν μὲν ἤδη 'σπαρμένα,
τὸν θεὸν δ' ἐπιψεκάζειν, καί τιν' εἰπεῖν γείτονα·
Εἰπέ μοι, τί τηνικαῦτα δρῶμεν, ὦ Κωμαρχίδη;
ἐμπιεῖν ἔμοιγ' ἀρέσκει, τοῦ θεοῦ δρῶντος καλῶς.
ἀλλ' ἄφαυε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας,
τῶν τε πυρῶν μίξον αὐτοῖς, τῶν τε σύκων ἔξελε,
τόν τε Μανῆν ἡ Σύρα βωστρησάτω τοῦ χωρίου.

Digitized by Google

HIER. Antestor.

TRYG. Et ego, te nempe esse helluonem et arrogantem iominem; percute ipsum, et baculo cohibe jactatorem il-um.

FAM. Tu quidem id cura: ego vero victimarum pelles, quas iicce per fraudem accepit, ei detraham. Nonne depones pelles, acrificule? audistin'? qualis iste corvus ex Oreo venit! nonne ivolabis ocius in Elymnium?

SEM. Lætor, lætor, quod carere licet casside, et caseo, et epis. Non enim ex præliis voluptatem capio; sed si apud gnem perpotem cum caris sodalibus, comburens ligna, quæ-unque fuerint aridissima, æstivo calore exsiccata, et in carbo-iibus torrens cicer, fagumque in ignem immittens, et simul Thrattam subagitans, dum uxor lavat. Nihil enim jucundius est, quam si, facta jam semente, deoque eam irrigante, sic fa-buletur vicinus aliquis: *Dic mihi sodes, quid facimus interea, Comarchida? mihi quidem potare placet, dum deus juvat sata. Age, mulier, frige phaselorum tres chœnices, triticique nonnihil is admisce, atque ficus deprome. Vocet Syra Manen ex agro,*

Digitized by Google

quandoquidem non licet pampinare hodie, neque glebas frangere, quum ager sit uvidus: et a me ferat aliquis turdum et fringillas duas. Erat etiam recondita domi colostra, et quatuor frusta carnis leporinæ, nisi quid illorum abripuit mustela vesperi: sane strepebat intus nescio quid et tumultuabatur. Ex illis, inquam, frustis fer nobis tria, puer, et unum da patri: myrtos fructiferos pete ab Æschinada; simulque, eadem est enim via, Charinadem aliquis vocet, ut potet nobiscum, dum bene facit, et incrementum dat deus frugibus.

Sem. Quando cicada cantat suavem suam cantilenam, lætor dispiciens Lemnias vites, an jam maturescant: nam fructum præcocem producunt: lætor etiam intuens grossum tumescentem; deinde quum est maturus, comedo, suavitatemque exploro, simulque dico: *Amicæ tempestates!* et nonnihil thymi terens misturam bibo: deinde fio pinguis eo æstatis tempore: his, inquam, lætor magis, quam si intuear diis odiosum centurionem tres cristas habentem, puniceamque chlamydem coloris intensissimi, quam ille tincturæ esse ait *Sardianicæ*: sin forte

Digitized by Google

οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον,
οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον·
κἀξ ἐμοῦ δ' ἐνεγκάτω τις τὴν κίχλην καὶ τὼ σπίνω·
ἦν δὲ καὶ πυός τις ἔνδον, καὶ λαγῷα τέτταρα,
εἴ τι μὴ 'ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆς ἑσπέρας·
ἐψόφει γοῦν ἔνδον οὐκ οἶδ' ἅττα, κἀκυδοιδόπα·
ὧν ἔνεγκ', ὦ παῖ, τρί' ἡμῖν, ἓν δὲ δοῦναι τῷ πατρί·
μυῤῥίνας αἴτησον ἐξ Αἰσχινάδου τῶν καρπίμων·
χἄμα τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω,
ὡς ἂν ἐμπίῃ μεθ' ἡμῶν,
εὖ ποιοῦντος, κὠφελοῦντος
τοῦ θεοῦ τἀρώματα.

Ημ. ἡνίκ' ἂν ἀχέτας
ᾄδῃ τὸν ἡδὺν νόμον,
διασκοπῶν ἥδομαι
τὰς Λημνίας ἀμπέλους,
εἰ πεπαίνουσιν ἤδη·
τὸ γὰρ φίτυ πρῷον φύει·
τόν τε φήληχ' ὁρῶν οἰδαίνοντ'·
εἶθ' ὁπόταν ᾖ πέπων,
ἐσθίω, κἀπέχω,
χἄμα φήμ', Ὧραι φίλαι· καὶ
τοῦ θύμου τρίβων κυκῶμαι·
κᾆτα γίγνομαι παχὺς
τηνικαῦτα τοῦ θέρους
μᾶλλον, ἢ θεοῖσιν ἐχθρὸν ταξίαρχον προσβλέπων,
τρεῖς λόφους ἔχοντα, καὶ φοινικίδ' ὀξεῖαν πάνυ,
ἣν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν·

Digitized by Google

ἢν δέ που δέῃ μάχεσθαι 'χοντα τὴν φοινικίδα,
τηνικαῦτ' αὐτὴ βέβαπται βάμμα χεζικηνικόν·
κᾆτα φεύγει πρῶτος, ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν,
τοὺς λόφους σείων· ἐγὼ δ' ἕστηκα λινοπτώμενος.
ἡνίκα δ' ἂν οἴκοι γένωνται, δρῶσιν οὐκ ἀνασχετὰ,
τοὺς μὲν ἐγγράφοντες ἡμῶν, τοὺς δ' ἄνω τε καὶ κάτω
ἐξαλείφοντες δὶς ἢ τρίς. Αὔριόν γ' ἔσθ' ἡ 'ξοδος·
τῷ δὲ σιτί' οὐκ ἐώνητ'· οὐ γὰρ ᾔδειν ἐξιών·
εἶτα προστὰς πρὸς τὸν ἀνδριάντα τὸν Πανδίονος,
εἶδεν αὑτὸν, κἀπορῶν ἔθει κακὸν βλέπων ὀπόν.
ταῦτα δ' ἡμᾶς τοὺς ἀγροίκους δρῶσι· τοὺς δ' ἐξ ἄστεος
ἧττον, οἱ θεοῖσιν οὗτοι κἀνδράσιν ῥιψάσπιδες.
ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν, ἢν θεὸς θέλῃ.
πολλὰ μὲν δή μ' ἠδίκησαν,
ὄντες οἴκοι μὲν λέοντες,
ἐν μάχῃ δ' ἀλώπεκες.

ΤΡΥΓΑΙΟΣ, ΔΡΕΠΑΝΟΥΡΓΟΣ, ΛΟΦΟΠΟΙΟΣ, ΘΩΡΑΚΟΠΩΛΗΣ, ΣΑΛΠΙΓΚΤΗΣ, ΚΡΑΝΟΠΟΙΟΣ, ΔΟΡΥΞΟΟΣ, ΠΑΙΣ ΛΑΜΑΧΟΥ, ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ, ΧΟΡΟΣ.

Τρ. ΙΟΥ, ἰού.
ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους.
ἔχ', ἀποκάθαιρε τὰς τραπέζας ταυτηί·
πάντως γὰρ οὐδὲν ὄφελος ἔστ' αὐτῆς ἔτι.
ἔπειτ' ἐπείσφερε τὰς ἀμύλους καὶ τὰς κίχλας,
καὶ τῶν λαγώων πολλὰ, καὶ τοὺς κολλάβους.

Digitized by Google

pugnandum sit ei ista amicto chlamyde, tunc illa tingitur tinctura *Merdianica:* deinde fugit primus, tanquam celer equigallus, cristas concutiens; ego autem sto retia servans. Quando autem domi sunt, intolerabilia faciunt, dum alios inscribunt in catalogum, alios temere delent bis aut ter. Cras quidem profectio est: huic vero cibus non est emtus: nesciebat enim quum domo egrederetur se militiæ adscriptum esse: deinde ad simulacrum Pandionis consistens, nomen suum in catalogo videt, inopsque consili currit flens amare. Ista nobis faciunt agricolis; urbanis vero secus, illi diis hominibusque invisi armorum abjectores: pro quibus pœnas adhuc dabunt mihi, si deus volet: multis enim me læserunt injuriis, qui domi quidem sunt leones, in acie autem vulpes.

TRYGÆUS, FALCARIUS, CRISTARIUS, LORICARIUS, TUBICEN, GALEARUM FABER, HASTARIUS, PUER LAMACHI, PUER CLEONYMI, CHORUS.

TRYG. Io! io! Quanta multitudo venit ad nuptiales epulas! Cape hanc galeam, et cristis mensas deterge, siquidem illius nullus est usus amplius: deinde infer placentas et turdos, plurimamque leporinam et panes.

Digitized by Google

Falc. Ubi Trygæus est, ubi?

Tryg. Turdos coquo.

Falc. O carissime Trygæe, quanta bona in nos contulisti, quum pacem fecisti! nam antidhac nemo emisset falcem vel teruncio: nunc vero eas quinquagenis drachmis vendo: iste autem ternis drachmis cados vendit in agros. Sed, ô Trygæe, cum ex falcibus sume, tum ex istis, quidquid voles, gratiis: et istæc accipe. Ex iis enim quæ vendidimus, et unde lucrum fecimus, dona hæcce tibi ferimus ad nuptias.

Tryg. Agite ergo, depositis istis apud me, ingredimini ad cœnam ocius: etenim iste armorum institor accedit æger animi.

Cris. Hei mihi! Trygæe, quam me funditus perdidisti!

Tryg. Quid vero est, infortunate? num tibi forte dolet caput cristis erumpentibus?

Cris. Pessum dedisti meum opificium et victum, hujusque, et istius hastarum fabri.

Tryg. Quid preti, amabo, solvam tibi pro istis duabus cristis?

Cris. Tu ipse quid das?

Tryg. Quid dem rogas? pudet dicere. Tamen quia multo labore implicitæ et adstrictæ sunt, facile pro iis darem tres caricarum chœnices, mensam ut detergam hancce.

Cris. Fer igitur intus huc caricas: quippe satius est, ô bone, quam nihil accipere.

Tryg. Aufer, aufer eas hinc in malam rem: pili eis defluunt, nihili sunt. Cristas has non emerem, ne una quidem carica.

Digitized by Google

Δρ. ποῦ, ποῦ Τρυγαῖός ἐστιν;
Τρ. ἀναβράττω κίχλας.
Δρ. ὦ φίλτατ', ὦ Τρυγαῖ', ὅσ' ἡμᾶς τἀγαθὰ
δέδρακας, εἰρήνην ποιήσας· ὡς πρὸ τοῦ
οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου·
νυνὶ δὲ πεντήκοντα δραχμῶν αὔτ' ἐμπολῶ·
ὁδὶ δὲ τριδράχμους τοὺς κάδους εἰς τοὺς ἀγρούς.
ἀλλ', ὦ Τρυγαῖε, τῶν δρεπάνων τε λάμβανε,
καὶ τῶνδ' ὅ τι βούλει, προῖκα· καὶ ταυτὶ δέχου.
ἀφ' ὧν γὰρ ἀπεδόμεσθα, κἀκερδαίνομεν,
τὰ δῶρα ταυτί σοι φέρομεν εἰς τοὺς γάμους.
Τρ. ἴθι νυν, καταθέμενοι παρ' ἐμοὶ ταῦτ', εἴσιτε
ἐπὶ δεῖπνον ὡς τάχιστα. καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος ἀχθόμενος προσέρχεται.
Λο. οἴμ', ὡς προθέλυμνόν μ', ὦ Τρυγαῖ', ἀπώλεσας.
Τρ. τί δ' ἐστὶν, ὦ κακόδαιμον; οὔ τι που λοφᾷς;
Λο. ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον,
καὶ τουτουῒ, καὶ τοῦ δορυξοῦ κεινουΐ.
Τρ. τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν;
Λο. αὐτὸς σὺ τί δίδως;
Τρ. ὅ τι δίδωμ'; αἰσχύνομαι;
ὅμως δ' ὅτι τὸ σφήκωμα πολὺν ἔχει πόνον,
δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας,
ἵν' ἀποκαθαίρω τὴν τράπεζαν τουτῳΐ.
Λο. ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας.
κρεῖττον γὰρ, ὦ 'τάν, ἐστιν ἢ μηδὲν λαβεῖν.
Τρ. ἀπόφερ', ἀπόφερ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
τριχορρυεῖτον, οὐδέν ἐστον. τὼ λόφω

Digitized by Google

οὐκ ἂν πριαίμην οὐδ᾽ ἂν ἰσχάδος μιᾶς.
Θω. τί δαὶ δεκάμνῳ τῷδε θώρακος κύτει
ἐνημμένῳ κάλλιστα χρήσομαι τάλας;
Τρ. οὗτος μὲν οὐ μή σοι ποιήσει ζημίαν.
ἀλλ᾽ αἶρέ μοι τοῦτόν γε τῆς ἰσωνίας.
ἐναποπατεῖν γάρ ἐστ᾽ ἐπιτήδειος πάνυ—
Θω. παῦσαί μ᾽ ὑβρίζων τοῖς ἐμοῖσι χρήμασι.
Τρ. ὡδί, παραθέντι τρεῖς λίθους. οὐ δεξιῶς;
Θω. ποίᾳ δ᾽ ἀποψήσει ποτ᾽, ὦ 'μαθέστατε;
Τρ. τῃδί, διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμίας,
καὶ τῃδ᾽—
Θω. ἅμ᾽ ἀμφοῖν δῆτ᾽;
Τρ. ἔγωγε, νὴ Δία,
ἵνα μή γ᾽ ἁλῷ τρύπημα κλέπτων τῆς νεώς.
Θω. ἔπειτ᾽ ἐπὶ δεκάμνῳ χεσεῖ καθήμενος;
Τρ. ἔγωγε, νὴ Δί᾽, ὦ 'πίτριπτ᾽· οἴει γὰρ ἂν
τὸν πρωκτὸν ἀποδόσθαι με χιλίων δραχμῶν;
Θω. ἴθι δὴ 'ξένεγκε τἀργύριον.
Τρ. ἀλλ᾽, ὦ 'γαθέ,
θλίβει τὸν ὄρρον· ἀπόφερ᾽, οὐκ ὠνήσομαι.
Σα. τί δ᾽ ἔγωγ᾽ ἄρα τῇ σάλπιγγι τῇδε χρήσομαι;
ἥν ἐπριάμην δραχμῶν ποθ᾽ ἑξήκοντ᾽ ἐγώ;
Τρ. μόλυβδον ἐς τουτὶ τὸ κοῖλον ἐγχέας,
ἔπειτ᾽ ἄνωθεν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
γενήσεταί σοι τῶν κατακτῶν κοττάβων.
Σα. οἴμοι καταγελᾷς.
Τρ. ἀλλ᾽ ἕτερον παραινέσω.
τὸν μὲν μόλυβδον, ὥσπερ εἶπον, ἔγχεον·

Digitized by Google

Lor. Hac autem lorica decem minis æstimata, commissa fabre, quid faciam miser?

Tryg. Hæc quidem nequaquam tibi damno erit: sed da eam mihi eodem pretio, quo tibi constitit: nam ad id apta est, ut quis in eam exoneret alvum---

Lor. Desine conviciorum in me et merces meas.

Tryg. Hoc modo adpositis tribus lapillis. Annon commode?

Lor. Qua vero parte terges nates, homo ineptissime?

Tryg. Hac, immissa manu per foramen, quo brachium exseritur, et illac---

Lor. Ergo utraque manu?

Tryg. Ita hercle, ne furtum fecisse deprenendar obturando navis foramine.

Lor. Ergone super vase decem minarum sedens cacabis?

Tryg. Equidem hercle, ô perdite. Anne vero putas me podicem meum venditurum vel mille drachmis?

Lor. Agedum effer argentum.

Tryg. Sed, ô bone, podicem mihi premit tua lorica; aufer, non emam.

Tub. Quid vero ego tandem hac tuba faciam, quam emi olim sexaginta drachmis?

Tryg. Plumbum si infundas in hanc cavitatem, deinde si superne virgam infigas longiusculam, fiet tibi pensilis cottabus.

Tub. Hei mihi! derides me.

Tryg. Sed aliud consilium dabo. Plumbum quidem, ut dixi, infunde: ex hac autem parte funiculis suspensam lancem

Digitized by Google

adde, et plane tibi fiet illud, quo possis ficus in agro servis tuis appendere.

Gal. Fab. O implacate dæmon, ut me perdidisti, quando pro his galeis minam olim dedi! et quid jam faciam? quis enim eas emet?

Tyrg. Abi et vende eas Ægyptiis, sunt enim aptæ ad metiendam syrmæam.

Hast. Hei mihi! ô galearum faber, quam misera est nostra conditio!

Tryg. Huic quidem nihil evenit mali.

Gal. Fab. Sed quid est adhuc, ad quod galeis utatur quispiam?

Tryg. Si hujusmodi ansas discat quis facere, multo pluris eas vendet, quam nunc.

Gal. Fab. Abeamus, ô hastarum faber.

Tryg. Nequaquam; quia ab hoc ego hastas istas emam.

Hast. Quantum ergo das?

Tryg. Si bifariam diffindantur singulæ, sumam eas pro ridicis, centenas drachma.

Hast. Contumelia hæc est: discedamus hinc, o bone.

Tryg. Ita hercle: nam pueri jam exeunt huc invitatorum, micturi, ut quæ cantaturi sunt præmeditentur, ni fallor. Sed, o puer, si quid cantare cogitas, hic propter me adstans prius præludium cantus face.

Puer I. Nunc rursus a bellicosis viris exordiamur—

Tryg. Desine bellicosos cantare, præsertim, ô perditissime, facta jam pace. Male doctus es et execrabilis.

Digitized by Google

ἐντεῦθενὶ δὲ σπαρτίοις ἠρτημένην
πλάστιγγα πρόσθες, καὐτό σοι γενήσεται
τὰ σῦκ' ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.
Κρ. ὦ δυσκάθαρτε δαῖμον, ὥς μ' ἀπώλεσας,
ὅτ' ἀντέδωκά γ' ἀντὶ τῶνδε μνᾶν ποτε·
καὶ νῦν τί δράσω; τίς γὰρ αὔτ' ὠνήσεται;
Τρ. πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις.
ἔστιν γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.
Δο. οἴμ', ὦ κρανοποί', ὡς ἀθλίως πεπράγαμεν.
Τρ. οὗτος μὲν οὐ πέπονθεν οὐδέν.
Κρ. ἀλλὰ τί
ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ τι τις χρήσεται;
Τρ. ἐὰν τοιαυτασὶ μάθῃ λαβὰς ποιεῖν,
ἄμεινον ἢ νῦν αὔτ' ἀποδώσεται πολύ.
Κρ. ἀπίωμεν, ὦ δορυξέ.
Τρ. μηδαμῶς, ἐπεὶ
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταὗτ' ὠνήσομαι.
Δο. πόσον δίδως δῆτ';
Τρ. εἰ διαπρισθεῖεν δίχα,
λάβοιμ' ἂν αὔτ' ἐς χάρακας, ἑκατὸν τῆς δραχμῆς.
Δο. ὑβριζόμεθα. χωρῶμεν, ὦ 'τὰν, ἐκποδών.
Τρ. νὴ τὸν Δί', ὡς τὰ παιδία γ' ἤδη 'ξέρχεται
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα,
ἅττ' ᾄσεται, προαναβάληταί, μοι δοκεῖ.
ἀλλ' ὅ τι περ ᾄδειν ἐπινοεῖς, ὦ παιδίον,
αὐτοῦ παρ' ἐμὲ στὰν, πρότερον ἀναβαλοῦ 'νθαδί.
Πα. α'. Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα---
Τρ. παῦσαι

Digitized by Google

ὁπλοτέρους ᾄδων, καὶ ταῦτ', ὦ τρισκακόδαιμον,
εἰρήνης οὔσης· ἀμαθές γ' εἶ καὶ κατάρατον.

Πα. α'. Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας.

Τρ. ἀσπίδας; οὐ παύσει μεμνημένος ἀσπίδας ἡμῖν;

Πα. α'. Ἐνθάδ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.

Τρ. ἀνδρῶν οἰμωγή; κλαύσει, νὴ τὸν Διόνυσον,
οἰμωγὰς ᾄδων, καὶ ταύτας ὀμφαλοέσσας.

Πα. α'. ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γάρ εἰπέ μοι, οἷς τισι χαίρεις.

Τρ. Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὶ τὰ τοιαυτί·
Ἄριστον προτίθεντο, καὶ ἅττ' ἥδιστα πάσασθαι.

Πα. α'. Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.

Τρ. εἶεν· ἐκόρεσθεν τοῦ πολέμου, κᾆτ' ἤσθιον.
ταῦτ' ᾆδε, ταῦθ', ὡς ἤσθιον κεκορεσμένοι.

Πα. α'. Θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι.

Τρ. ἄσμενοι, οἶμαι.

Πα. α'. Πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.

Τρ. κάκιστ' ἀπόλοιο, παιδάριον, αὐταῖς μάχαις·
οὐδὲν γὰρ ᾄδεις, πλὴν πολέμους. τοῦ καί ποτ' εἶ;

Πα. α'. ἐγώ;

Τρ. σὺ μέντοι, νὴ Δί'.

Πα. α'. υἱὸς Λαμάχου.

Τρ. αἰβοῖ·
ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ σὺ μὴ εἴης
ἀνδρὸς βουλομάχου καὶ κλαυσιμάχου τινὸς υἱός.
ἄπερρε, καὶ τοῖς λογχοφόροισιν ᾆδ' ἰών.
ποῦ μοι τὸ τοῦ Κλεωνύμου 'στὶ παιδίον;

Digitized by Google

Puer I. Illi autem quum jam prope essent concurrentes inter sese, scuta et clypeos conserebant umbonibus munitos.

Tryg. *Clypeos?* nonne desines clypeos memorare nobis?

Puer I. Hic virum ejulatus exoriebatur simul et supplicatio.

Tryg. *Virûm ejulatus*, inquis? plorabis, ita me Bacchus amet, ejulatus canens, eosque umbonibus munitos.

Puer I. Sed quid canam tandem? tu enim dic mihi, quibus delecteris.

Tryg. Cane, *Sic illi quidem comedebant boum carnes*, et quæ sunt istiusmodi: *Prandium adponebant et quæcunque sunt esu suavissima.*

Puer I. Sic illi quidem comedebant boum carnes, sudantumque equorum cervices solvebant jugo, satiati jam bello.

Tryg. Esto: bello satiati sunt; deinde comederunt. Ista cane, ista, ut comederint satiati.

Puer I. Deinde postquam desiere, pectora munierunt.

Tryg. Cupide et lubenter, ut credo.

Puer I. E turribus vero sese effuderunt; clamor autem ingens exortus est.

Tryg. Pessimis exemplis pereas, ô puerule, cum tuis præliis: nihil enim nisi bella canis. Cujusnam vero filius es?

Puer I. Egone?

Tryg. Tu ergo hercle.

Puer I. Filius Lamachi.

Tryg. Hui! mirabar profecto, dum te audiebam, ni tu esses *Bulomachi* hominis et *Clausimachi* alicujus filius. I in malam rem, et hastiferos adiens, iis canta. Ubi mihi Cleonymi est

Digitized by Google

filius? cane, priusquam ingrediaris, aliquid: nam sat scio te pugnas non cantaturum: modesto enim es patre natus.

Puer II. Clypeo quidem meo Saïus aliquis superbit, quem ad fruticem reliqui invitus, instrumentum belli labe carens—

Tryg. Dic mihi, ô pusio, hæccine in patrem tuum canis?

Puer II. Vitam autem meam servavi.

Tryg. At parentum vitam dedecorasti. Sed ingrediamur: quippe sat certo scio, quæ modo cecinisti de clypeo, horum te nunquam obliturum, qui tali sis patre natus. Vobis autem hic manentibus id jam relinquitur negoti, ut hæc strenue comedatis et consumatis, nec frustra maxillas moveatis. Sed gnaviter incumbite, et raptim mandite utrisque maxillis. Nullus enim, ô ærumnosi, alborum dentium usus est, nisi etiam aliquid mandant.

Chor. Nobis hæc erunt curæ: bene enim facis et tu, quum nos mones.

Tryg. Sed ô qui antehac esuriebatis, ingurgitate vos leporinis: non enim quotidie licet incidere in placentas sine custode vagantes: quamobrem vorate, aut mox vos pœnitebit. Ore favere oportet, et sponsam huc foras adducere, tedasque ferre, et gratulari omnem populum, ac fauste acclamare, et omnem supellectilem nunc rursus in agrum portare, postquam saltaverimus, et libaverimus, et Hyperbolum expulerimus; deosque precati fuerimus, ut dent Græcis divitias, et ut magnus hordei proventus nobis sit omnibus pariter, vinique, utque ficus come-

Digitized by Google

ᾆσον, πρὶν εἰσιέναι, τι· σὺ γὰρ εὖ οἶδ' ὅτι
οὐ πράγματ' ᾄσει· σώφρονος γὰρ εἶ πατρός.
Πα. β'. Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.
Τρ. εἰπ' ἐμοί, ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις;
Πα. β'. Ψυχὴν δ' ἐξεσάωσα---
Τρ. κατῄσχυνας δὲ τοκῆων.
ἀλλ' εἰσίωμεν· εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς,
ὅτι ταῦθ', ὅσ' ᾖσας ἄρτι περὶ τῆς ἀσπίδος,
οὐ μὴ 'πιλάθῃ ποτ', ὢν ἐκείνου τοῦ πατρός.
ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων
φλᾶν ταῦτα πάντα καὶ σποδεῖν καὶ μὴ κενὰς παρέλκειν·
ἀλλ' ἀνδρικῶς ἐμβάλλετον,
καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν.
οὐδὲ γάρ, ὦ πόνηροι,
λευκῶν ὀδόντων ἔργον ἔσ', ἢν μή τι καὶ μάσωνται.
Χο. ἡμῖν μελήσει ταῦτά γ'· εὖ ποιεῖς δὲ καὶ σὺ φράζων.
Τρ. ἀλλ', ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγώων·
ὡς οὐχὶ πᾶσαν ἡμέραν
πλακοῦσιν ἐστὶν ἐντυχεῖν πλανωμένοις ἐρήμοις.
πρὸς ταῦτα βρύκετ', ἢ τάχ' ὑμῖν φημὶ μεταμελήσειν.
εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν,
δᾳδάς τε φέρειν, καὶ πάντα λεὼν ξυγχαίρειν, κἀπικελεύειν,
καὶ τὰ σκεύη πάλιν εἰς τὸν ἀγρὸν νυνὶ χρὴ πάντα κομίζειν
ὀρχησαμένους καὶ σπείσαντας, καὶ Ὑπέρβολον ἐξελάσαντας·
κᾆπειτ' εὐξαμένους τοῖσι θεοῖς
διδόναι πλοῦτον τοῖς Ἕλλησιν,
κριθάς τε ποιεῖν ἡμᾶς πολλάς,

Digitized by Google

πάντας ὁμοίως, οἶνόν τε πολὺν,
σῦκά τε τρώγειν·
τάς τε γυναῖκας τίκτειν ἡμῖν·
καὶ τἀγαθὰ πάνθ᾽, ὅσ᾽ ἀπωλέσαμεν,
ξυλλέξασθαι πάλιν ἐξ ἀρχῆς·
λῆξαι δ᾽ αἴθωνα σίδηρον.
δεῦρ᾽, ὦ γύναι, εἰς ἀγρὸν,
χὤπως μετ᾽ ἐμοῦ καλὴ
καλῶς κατακείσει.
Ὑμὴν, Ὑμέναι᾽ ὦ· Ὑμὴν, Ὑμέναι᾽ ὦ.

Χο. ὦ τρισμάκαρ, ὡς δικαίως
τἀγαθὰ νῦν ἔχεις.
Ὑμὴν, Ὑμέναι᾽ ὦ· Ὑμὴν, Ὑμέναι᾽ ὦ.
τί δράσομεν αὐτήν;
τί δράσομεν αὐτήν;
τρυγήσομεν αὐτήν.
τρυγήσομεν αὐτήν.
ἀλλ᾽ ἀράμενοι φέρωμεν,
οἱ προστεταγμένοι,
τὸν νυμφίον, ὦ ᾽νδρες.
Ὑμὴν, Ὑμέναι᾽ ὦ· Ὑμὴν Ὑμέναι᾽ ὦ.
* * * λείπει. * * *

Χο. οἰκήσετε γοῦν καλῶς,
οὐ πράγματ᾽ ἔχοντες,
ἀλλὰ συκολογοῦντες.
Ὑμὴν, Ὑμέναι᾽ ὦ· Ὑμὴν, Ὑμέναι᾽ ὦ.
τοῦ μὲν μέγα καὶ παχὺ,
τῆς δ᾽ ἡδὺ τὸ σῦκον.

Digitized by Google

damus; et uxores ut nobis pariant, bonaque omnia, quæcunque amisimus, de integro collecta recuperemus, et coruscantis ferri ut cesset usus. Veni, o mulier, in agrum, daque operam, ut mecum bella belle cubes. Hymen o Hymenæe, Hymen o Hymenæe!

Chor. O terbeate, quam merito hæc bona nunc habes! Hymen o Hymenæe, Hymen o Hymenæe! Quid ei faciemus? quid ei faciemus? fruemur ea, fruemur ea. Sed nos, o viri, quibus id mandatum est, sustollamus et feramus sponsum. Hymen o Hymenæe, Hymen o Hymenæe!

(Desunt complures versus.)

Chor. Proinde bene habitabitis, nec molestias sustinebitis, sed ficus colligetis. Hymen o Hymenæe, Hymen o Hyme-

Digitized by Google

næ! Ille habet magnam et crassam, hæc vero dulcem ficum, Dices ergo quum comederis, vinumque biberis multum, *Hymen o Hymenæe, Hymen o Hymenæe!*

(Desunt versus aliquot.)

CHOR. Placentas comedetis.

FINIS.

Digitized by Google

φήσεις γοῦν, ὅταν ἐσθίῃς,
οἶνόν τε πίῃς πολύν·
Ὑμὴν, Ὑμέναι' ὦ· Ὑμὴν, Ὑμέναι' ὦ.

* * * λείπει. * * *

Χο. πλακοῦντας ἔδεσθε.

* * * * * * *

FINIS.

Digitized by Google

LONDINI:

EX OFFICINA N. BLISS.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google